3 5 τις τῆς τῶν, non τις τῶν

3 14 δὲ αὐτὴ, non δ' αὐτὴ

3 16 ὅτι τοῖσι κάμν.

4 19 καὶ καταλέσαντές τε καὶ

5 1 ὡς ἣν ἃ μὲν ἴσχ., non ὡς ἣν μὲν ἃ ἴσχ.

5 9 καὶ θάν. non om.

6 18 καὶ ἔψ., non κ. τῇ ἔψ.

7 6 καὶ ἣν πάνυ ut vulg.

7 9 ῥυφεῖν μὲν

7 12 ἐς, non εἰς

7 14 et 15 καὶ τὸν κάμνοντα

7 24 διὰ τὴν θηριότητά τε καὶ τὴν ἀκρ.

11 18 οὖρον χλορώτερον καὶ θερμότερον καὶ στόμα

12 19 δὴ, quod in app. suo affert Littr., non repperi

12 25 ἔτι δὲ, non ἔστι δὲ

13 5 et 6 οὐ φημὶ δὲ δεῖν διατοῦτο

14 4 γάρ post δῆλον A non fert

17 12 ἢ A[1], mut. A[3] in εἰ

20 19 οὐδὲ μίαν, non οὐδεμίαν

21 10 τότε δὲ ἤδη, non τὸ δὲ ἤδη

23 9 ὅσοισι δὲ ὀξ., non ὅσ. μὲν ὀξ.

23 12 *καταστορεσθῇ*, non *καταστορεθῇ*
27 14 *ἐκ τῆς σ.* A quoque
111 2 *νοσήμασι*
111 8 et 9 *σποράδες ἐῶσιν*
113 8 *ὅτι καὶ οἱ* A quoque
114 6 *ὅσοι* (*κό* ss.) *μὲν* A (*κο* ss. non prima m.)
114 11 *εἰθισμένοις* (*ι* add. A[4]) *ἅπαξ*
115 19 *ἧσσον* A
116 5 *οὐδαμῇ* A
120 14 *ῥυῇ ἢ ἀντὶ*
123 2 *αἰεὶ* A quoque
125 3 *ἔλασσον*
125 11 *τὴν* ante *μονοσιτ.* non om.
127 18 *δ' ἧσσον*
128 14 *εἰ ταύτας πάσας*, non *ἢν πάσας ταύτας*
132 7 *ἀρκέσει*
133 11 *κῆν* A quoque
135 1 *ἀνάγοι*, non *ἀνάγῃ*
136 5 *πλεύμονος* A quoque
136 11 *ἔστι δ'* (non *τ'*) *ὅτε κατακορ.*
140 6 *διαιτωμένοισιν* A quoque
141 21 *κιρρὸν οἶνον*
142 5 *ὅπου θερμῷ καὶ ὅπου ψυχρῷ*
149 5 *διαλογιζόμενος* A quoque
150 19 *ὁπόταν*
161 6 *ἥκειν* (post *φιλεῖ*) om.
171 8 *ὑπελεύσεται* A quoque
182 2 *ὀξέες* om.
186 1 *ἐν* ante *καύσῳ* om.
187 5 et 6 *ψύξις δὲ πολλὴ*
187 13 *ἢ σμικρά*, non *ἢ καὶ σμ.*
190 11 *πυρετοῖς*, non *-τοῖσι*
190 12 mere *σιτώδεα*
ibid. *ξύντασις*, non *ξύνστασις*
193 15 et 209 11 *λάβρον* A quoque
194 1 *καὶ* post *λεπτὰ* om. A quoque
195 4 *ὀλίγα μέλανα*
198 21 et 201 3 *οἷσι*
200 18 *ἐναταῖος ἔτι μακρότερος* (*καὶ* om. A) *οὐ θανατώδης*
200 21 *ἐπιγιν.*, non *ἐπιγεν.*
201 12 ante *γέγραπται* add. *τι*, non *τε*
202 12 *ἄρρωστος* (i. tit.) non est in A
203 3 *ὕπνον*, non *ὕπνον*
203 7 *ἀπέθανεν* et 13 *ἔλαβεν* A quoque
205 7 *δὲ πόνοι* pro *ἐπόνει*
206 12 *ὅσα* pro *οἷα*
207 18 *καὶ* ante *πρώτ. κ. εἰκ.* non repperi
208 10 *κρισίμοις*
209 1 *ἐρρίγωσε*
209 19 *παροξύνθη*
210 10 *ἐς νύκτα*
211 20 *μέγα*, non *μὲν*
214 11 *ἵδρωσε*

ADDENDA.

1 18 δημιουργοὶ A rel., δημιοεργοὶ M

8 9 app. οὐ βλακικωτέρην ἤπερ τὴν pro οὐ βλαβερωτέρην πρὸς τὴν Gomperz Wien. Sitzungsber. CXXII 14

11 18 app. θερμότερον καὶ στόμα A

11 19 κρεμᾶσθαι A rel., κρέμασθαι M

20 18 app. ῥώμην Kaibel, Stil u. Text der πολ. Ἀθην. des Aristot. p. 137

27 14 app. τετεχνέαται (forme ionienne) Litt.

45 12 ἐεικὸς E, ἐοικὸς cet.

64 14 app. περὶ ἑωυτέων Cor.

93 20 app. ἀπάντ. M

124 13 προηριστήκεσαν A, -κεισαν MV vulg.

125 12 app. ἐνέγκαιεν A[1], mut. A[3] in ἐνέγκεστεν

127 8 θ ω υ μ α σ τ ὸ ν V (ceteroquin ubique θαυμ-, cf. Litt. II 302 note 16)

131 23 app. post γὰρ add. ἦν MV

146 10 app. νηδῦν V

CORRIGENDA.

IV lege Epidem. I 5 p. 634 sq. L.
IX 4 lege χειρῶν·, non ⟨χειρῶν·⟩
XVIII 24 lege quin, non quia
XXIX adn. 3 lege Suppl. Arist. vol. III 1, non t. IV
6 10 dele comma post τούτων
17 7 lege αὐτοῖσι, non αὐτοῖσιν
18 10 et 21 9 lege μεμειγμ.
22 5 et 23 12 lege μειχθ.
25 15 lege πληρούμενοι
50 5 lege τοῖς
62 25 et 99 10 lege ὀσφῦν
94 17 app. lege τὰς πρ. προλέγειν MV
101 14 lege ἀπολεύμ., item 107 8
104 3 app. lege (p. 106 20)
107 14 lege ἀποθανευμένους
111 2 lege νοσήμασι
130 18 app. lege ὀρρωδέω
140 15 app. lege ὠφελείης
152 8 lege ὀσφῦν (sic enim A[1]MV)
152 17 lege δοκῇ
154 13 lege ὅπως
160 12 lege ὀφρῦν et in app. ὀ:σ:φρὺν A
161 20 lege καὶ ἣν cum Parisino A
175 12 lege κυάθοις
180 4 lege μαλθακῶς
187 4 lege μέζω
219 23 lege ἑξκαιδεκάτη

ΠΕΡΙ ΑΡΧΑΙΗΣ ΙΗΤΡΙΚΗΣ.

Ὁπόσοι μὲν ἐπεχείρησαν περὶ ἰητρικῆς λέγειν I 570 L.
ἢ γράφειν, ὑπόθεσιν αὐτοὶ αὐτοῖς ὑποθέμενοι τῷ λόγῳ θερμὸν ἢ ψυχρὸν ἢ ὑγρὸν ἢ ξηρὸν ἢ ἄλλο τι ὃ ἂν θέλωσιν, ἐς βραχὺ ἄγοντες τὴν ἀρχὴν τῆς αἰτίης τοῖσι ἀνθρώποισι νούσων τε καὶ θανάτου, καὶ πᾶσι τὴν αὐτήν, ἓν ἢ δύο ὑποθέμενοι, ἐν πολλοῖσι μὲν και⟨νοῖσι⟩ οἷσι λέγουσι καταφανέες εἰσὶ ἁμαρτάνοντες, μάλιστα δὲ ἄξιον μέμψασθαι, ὅτι ἀμφὶ τέχνης ἐούσης, ᾗ χρέονταί τε πάντες ἐπὶ τοῖσι μεγίστοισι καὶ τιμῶσι μάλιστα τοὺς ἀγαθοὺς χειροτέχνας καὶ δημιουργούς. εἰσὶν δὲ δημιουργοὶ οἱ μὲν φαῦλοι, οἱ δὲ πολλὸν διαφέροντες· ὅπερ, εἰ μὴ ἦν ἰητρικὴ ὅλως μηδ' ἐν αὐτῇ ἔσκεπτο μηδ' εὕρητο μηδέν, οὐκ ἂν ἦν, ἀλλὰ πάντες ὁμοίως αὐτῆς ἄπειροί τε καὶ ἀνεπιστήμονες ἦσαν, τύχῃ δ' ἂν πάντα τὰ τῶν καμνόντων διοικεῖτο. νῦν δ' οὐχ οὕτως ἔχει, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων τεχνέων πασέων οἱ δημιουργοὶ πολλὸν 572
ἀλλήλων διαφέρουσιν κατὰ χεῖρα καὶ κατὰ γνώμην,

2 μὲν om. M 3 ὑπ. σφίσιν αὐτέοισιν ὑπ. M 4 ἄλλοτι ὃ ἢν θέλ. A, ἄλλ' ὅ τι ἂν ἐθέλ. M 6 τῶν ante νούσ. et τοῦ ante θαν. add. M 7 προθέμ. M 7. 8 μὲν καὶ οἷσι λέγ. codd., καινοῖσι dedi auctore Hermanno Schoene 11 καὶ δημιουργούς om. M 12 φλαῦροι M 13 πολλῶν δ. A, πολὺ διαφ. M 14 μηδ' εὕρητο om. A 15 ἂν ὁμ. M, ὁμ. ἂν H et L 16 τύχῃ δ' ἂν A, καὶ τύχῃ ἂν Littr. ex caet. Parisinis, et καὶ et δ' ἂν om. M 17 δ' om. A, ss. A[2] 18 πολὸν A

οὕτω δὲ καὶ ἐπὶ ἰητρικῆς. διὸ οὐκ ἠξίουν αὐτὴν ἔγωγε καινῆς ὑποθέσιος δεῖσθαι ὥσπερ τὰ ἀφανέα τε καὶ ἀπορεόμενα, περὶ ὧν ἀνάγκη, ἤν τις ἐπιχειρῇ τι λέγειν, ὑποθέσει χρῆσθαι, οἷον περὶ τῶν μετεώρων ἢ τῶν ὑπὸ γῆν· ἃ εἴ τις λέγοι καὶ γινώσκοι ὡς ἔχει, οὔτ' ἂν αὐτῷ τῷ λέγοντι οὔτε τοῖς ἀκούουσι δῆλα ἂν εἴη, εἴτε ἀληθέα ἐστὶν εἴτε μή. οὐ γὰρ ἔστι πρὸς ὅ τι χρὴ ἀνενέγκαντα εἰδέναι τὸ σαφές.

2. *Ἰητρικῇ δὲ πάλαι πάντα ὑπάρχει, καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὕρηται ἐν πολλῷ χρόνῳ καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις ἱκανός τε ἐὼν καὶ τὰ εὑρημένα εἰδὼς ἐκ τούτων ὁρμώμενος ζητῇ. ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα ἑτέρῃ ὁδῷ καὶ ἑτέρῳ σχήματι ἐπιχειρεῖ ζητεῖν καί φησί τι ἐξευρηκέναι, ἐξηπάτηται καὶ ἐξαπατᾶται· ἀδύνατον γάρ· δι' ἃς δὲ ἀνάγκας ἀδύνατον, ἐγὼ πειρήσομαι ἐπιδεῖξαι λέγων καὶ ἐπιδεικνύων τὴν τέχνην ὅτι ἔστιν. ἐκ δὲ τούτου καταφανὲς ἔσται ἀδύνατα ἐόντα ἄλλως πως τούτων εὑρίσκεσθαι. μάλιστα δέ μοι δοκεῖ περὶ ταύτης δεῖν λέγοντα τῆς τέχνης γνωστὰ λέγειν τοῖσι δημότῃσι. οὐ γὰρ περὶ ἄλλων τινῶν οὔτε ζητεῖν οὔτε λέγειν προσήκει ἢ περὶ τῶν παθημάτων ὧν αὐτοὶ οὗτοι νοσέουσί τε καὶ πο-*
574 *νέουσι. αὐτοὺς μὲν οὖν τὰ σφέων αὐτῶν παθή|ματα*

1 *ἐγ. κενῆς αὐτὴν ὑπόθ.* M 3 *ἀπορρεόμενα* A *τι* om. M 4 *ὃ* pro *οἷον* M 5 *ἃ εἴ* Gomperz Wiener Sitzungsber. tom. 103 p. 529, *ἀεί τις λέγειν καὶ γινώσκει* A, *εἰ λέγοι τις κ. γινώσκοι* M 8 *ἐπανέγκ.* M 10 *καὶ* ante *τὰ εὑρ.* add. M 14 *ἀποβάλλων* A 15 *φύσι* A, mut. A^3 in *φύσει*, *φήσει* M *εὑρηκέναι* M 17 *δυνατὸν* A 18 *δεικνὺς* M *ὅ τι* M *ἐστὶν* codd. 19 *τουτέων* A, om. M 20 *δ' ἐμοὶ* A 21 *οὔτε* pro *οὐ* A 22 *ἄλλου τινὸς* M *προσήκει οὔτε λέγ.* M 23 *πα* in ras., man. antiquissima ante *ϑ* scripsit *σ* (*αἰσθημάτων*?) A *τε καὶ πονέουσι* om. M

καταμαθεῖν, ὡς γίνεται καὶ παύεται καὶ δι' οἵας προφάσιας αὔξεταί τε καὶ φθίνει, δημότας ἐόντας οὐ ῥηίδιον· ὑπ' ἄλλου δὲ εὑρημένα καὶ λεγόμενα, εὐπετές. οὐδὲν γὰρ ἕτερον ἢ ἀναμιμνήσκεται ἕκαστος ἀκούων τῶν αὐτῷ συμβαινόντων. εἰ δέ τις τῆς τῶν ἰδιωτέων γνώμης ἀποτεύξεται καὶ μὴ διαθήσει τοὺς ἀκούοντας οὕτως, τοῦ ἐόντος ἀποτεύξεται. καὶ διὰ ταῦτα οὖν ταῦτα οὐδὲν δεῖ ὑποθέσιος.

3. Τὴν γὰρ ἀρχὴν οὔτ' ἂν εὑρέθη ἡ τέχνη ἡ ἰητρικὴ οὔτ' ἂν ἐζητήθη — οὐδὲν γὰρ αὐτῆς ἔδει —, εἰ τοῖσι κάμνουσι τῶν ἀνθρώπων τὰ αὐτὰ διαιτωμένοισί τε καὶ προσφερομένοισι, ἅπερ οἱ ὑγιαίνοντες ἐσθίουσί τε καὶ πίνουσι καὶ τἄλλα διαιτέονται, συνέφερεν καὶ μὴ ἦν ἕτερα τούτων βελτίω. νῦν δὲ αὐτὴ ἡ ἀνάγκη ἰητρικὴν ἐποίησεν ζητηθῆναί τε καὶ εὑρεθῆναι ἀνθρώποισι, ὅτι τοῖσι κάμνουσι ταὐτὰ προσφερομένοισι, ἅπερ οἱ ὑγιαίνοντες, οὐ συνέφερεν, ὡς οὐδὲ νῦν συμφέρει. 576
ἔτι δὲ ἄνωθεν ἔγωγε ἀξιῶ οὐδ' ἂν τὴν τῶν ὑγιαινόντων δίαιτάν τε καὶ τροφήν, ᾗ νῦν χρέονται, εὑρεθῆναι, εἰ ἐξήρκει τῷ ἀνθρώπῳ ταὐτὰ ἐσθίοντι καὶ πίνοντι βοΐ τε καὶ ἵππῳ καὶ πᾶσιν ἐκτὸς ἀνθρώπου, οἷον τὰ ἐκ τῆς γῆς φυόμενα, καρπούς τε καὶ ὕλην καὶ χόρτον. ἀπὸ τούτων γὰρ καὶ τρέφονται καὶ αὔξονται καὶ ἄπονοι

1 ὥς τε γ. M   2 ἰδιώτας pro δημότ. M   3 δ' M   4 ἢ om. M   5 ἑωυτῷ M   7 οὕτως mut. in οὗτος M   κ. δ. τ. οὖν οὐδὲν δεῖται ὑπ. M   9 ἡ ante τέχνη om. M   10 αὐτοῖς M   εἰ om. M   11 αὐτῶν ante ἀνθρ. add. A   12 οἱ om. M   τε om. M   13 καὶ κατ' ἄλλα M   εἰ ante μὴ add. M   14 δ' M   15 ζητεῖσθαι M   16 ταῦτα AM   18 δ' M ut saepius   20 εἰ om. A[1], inseruit A[2]   22 τῆς om. M

23 τε pro γὰρ M   πονοι A, ς ss. A[2], i. m. A[2]: περὶ ἀρχεωτάτης τῶν τότε ἀνθρώπων τροφῆς καὶ διαίτης

διάγουσιν οὐδὲν προσδεόμενοι ἄλλης διαίτης. καί τοι τήν γε ἀρχὴν ἔγωγε δοκέω καὶ τὸν ἄνθρωπον τοιαύτῃ τροφῇ κεχρῆσθαι. τὰ δὲ νῦν διαιτήματα εὑρημένα καὶ τετεχνημένα ἐν πολλῷ χρόνῳ γεγενῆσθαί μοι δοκεῖ. ὡς γὰρ ἔπασχον πολλά τε καὶ δεινὰ ὑπὸ ἰσχυρῆς τε καὶ θηριώδεος διαίτης ὠμά τε καὶ ἄκρητα καὶ μεγάλας δυνάμιας ἔχοντα ἐσφερόμενοι! οἷά περ ἂν καὶ νῦν ὑπ᾽ αὐτῶν πάσχοιεν πόνοισί τε ἰσχυροῖσι καὶ νούσοις περιπίπτοντες καὶ διὰ τάχεος θανάτοισι. ἧσσον μὲν οὖν ταῦτα τότε εἰκὸς ἦν πάσχειν διὰ τὴν συνήθειαν, ἰσχυρῶς δὲ καὶ τότε. καὶ τοὺς μὲν πλείστους τε καὶ ἀσθενεστέρην φύσιν ἔχοντας ἀπόλλυσθαι εἰκός, τοὺς δὲ τούτων ὑπερέχοντας πλείω χρόνον ἀντέχειν· ὥσπερ καὶ νῦν ἀπὸ τῶν ἰσχυρῶν βρωμάτων οἱ μὲν ῥηϊδίως ἀπαλλάσσονται, οἱ δὲ μετὰ πολλῶν πόνων τε καὶ κακῶν. διὰ δὴ ταύτην τὴν αἰτίην καὶ οὗτοί μοι δοκέουσι ζητῆσαι τροφὴν ἁρμόζουσαν τῇ φύσει καὶ εὑρεῖν ταύτην, ᾗ νῦν χρεώμεθα. ἐκ μὲν οὖν τῶν πυρῶν βρέξαντές σφας καὶ πτίσαντες καὶ καταλέσαντές τε καὶ διασήσαντες καὶ φορύξαντες καὶ ὀπτήσαντες ἀπετέλεσαν ἄρτον, ἐκ δὲ τῶν κριθέων μᾶζαν·
578 ἄλλα | τε πολλὰ περὶ ταῦτα πρηγματευσάμενοι ἥψησάν τε καὶ ὤπτησαν καὶ ἔμιξαν, καὶ ἐκέρασαν τὰ ἰσχυρά τε καὶ ἄκρητα τοῖς ἀσθενεστέροις πλάσσοντες πάντα πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν τε καὶ δύναμιν, ἡγεύ-

2 γε om. M ἀξιῶ pro δοκέω M τοιαύτην τροφὴν (i. m. -ῇ -ῇ) χρῆσθαι A 4 ἐν π. χρ. om. A 5 πολά A ἀπὸ M 6 σώματα pro ὠμά τε M 7 ἂν om. A 9 διαταχέως A ut solet 14 ἐκ pro ἀπὸ M 15 μὲν γὰρ M 16 χρείην pro αἰτίην M 19 σφας om. M, post πτίσ. add. πάντα M 20 φρύξαντες M 21 ἀπετελέσαμεν A 22 συχνὰ pro πολλὰ M περὶ ταύτην codd., iteratum in A post πρ. 23 τὰ om. M

μενοι, ὅσων μέν, ἢν ἰσχυρὰ ᾖ, οὐ δυνήσεται κρατεῖν ἡ φύσις, ἢν ἐμφέρηται, ἀπὸ τούτων δ' αὐτῶν πόνους τε καὶ νούσους καὶ θανάτους ἔσεσθαι, ὁπόσων δ' ἂν δύνηται ἐπικρατεῖν, ἀπὸ τούτων τροφήν τε καὶ αὔξησιν καὶ ὑγιείην. τῷ δὲ εὑρήματι τούτῳ καὶ ζητήματι τί ἄν τις ὄνομα δικαιότερον ἢ προσῆκον μᾶλλον θείη ἢ ἰητρικήν; ὅτι γε εὕρηται ἐπὶ τῇ τοῦ ἀνθρώπου ὑγιείῃ τε καὶ σωτηρίῃ καὶ τροφῇ, ἄλλαγμα ἐκείνης τῆς διαίτης, ἐξ ἧς οἱ πόνοι καὶ νοῦσοι καὶ θάνατοι ἐγίνοντο.

4. *Εἰ δὲ μὴ τέχνη αὕτη νομίζεται εἶναι, οὐκ ἀπεοικός· ἧς γὰρ μηδείς ἐστιν ἰδιώτης, ἀλλὰ πάντες ἐπιστήμονες διὰ τὴν χρῆσίν τε καὶ ἀνάγκην, οὐ προσήκει ταύτης οὐδένα τεχνίτην καλεῖσθαι· ἐπεὶ | τό γε* 580
εὕρημα μέγα τε καὶ πολλῆς σκέψιος τε καὶ τέχνης. ἔτι γοῦν καὶ νῦν οἱ τῶν γυμνασίων τε καὶ ἀσκησίων ἐπιμελόμενοι αἰεί τι προσεξευρίσκουσιν κατὰ τὴν αὐτὴν ὁδὸν ζητέοντες ὅ τι ἐσθίων τε καὶ πίνων ἐπικρατήσει τε αὐτοῦ μάλιστα καὶ ἰσχυρότερος αὐτὸς ἑωυτοῦ ἔσται.

5. *Σκεψώμεθα δὲ καὶ τὴν ὁμολογεομένως ἰητρικήν, τὴν ἀμφὶ τοὺς κάμνοντας εὑρημένην, ἣ καὶ ὄνομα καὶ τεχνίτας ἔχει, ἦρά τι καὶ αὐτὴ τῶν αὐτῶν ἐθέλει, καὶ πόθεν ποτὲ ἦρκται. ἐμοὶ μὲν γάρ, ὅπερ ἐν ἀρχῇ*

1 *ὅσων* Diels, *ὡς ἢν ἃ μὲν ἰσχυρὰ ᾖ* A, *ὅσα μὲν ἰσχυρότερα ᾖ* M 2 *ἐσβάληται* M *τε* pro *δ'* A 3 *ὁπόσων δ' ἢν* A, *ὅσων ἂν* M 4 *τροφὴ .. αὔξησις .. ὑγιεία* A 5 *τούτῳ καὶ ζητ.* om. M 6 *τί ἂν οὖν ὄνομα δ. ἄν τις προσῆκον μ. θεῖτο* M 7 *γε* om. M 8 *τροφῇ κ. σωτηρίης* M *κείνης* M 9 *καὶ θάνατοι* om. M, *γίνονται* M 10 *αὐτὴ* M 11 *ἀπεικός* M, *ἢ (ᾗ?) γὰρ ἀπεοικὸς* i. m. A[4] *ἔσται* A 12 *ἐστέ* ante *διὰ* add. A 14 *εὕρεμα καὶ μ. καὶ πολλ. τέχν. τ. κ. σκ.* M 17 *ἔδων* M 18 *αὐτέων* M *ἰσχυρότατος* M *αὐτὸς* om. M 21 *ἦρα τί* A, *ἦρά τι* M[1], *εἰ ἄρα τι* M[2] pro vulg. *καὶ κρατεῖν*, v. quae de his disputavi in Herm. XXII, p. 187 sqq. et Erm. in Epimetro vol. III, p. XCVI *ἐθέλοι* A 22 *ὁπόθεν* M

εἶπον, οὐδ' ἂν ζητῆσαι ἰητρικὴν δοκεῖ οὐδείς, εἰ ταὐτὰ διαιτήματα τοῖσί τε κάμνουσι καὶ τοῖσι ὑγιαίνουσιν ἥρμοζεν. ἔτι γοῦν καὶ νῦν ὅσοι ἰητρικῇ μὴ χρέονται, οἵ τε βάρβαροι καὶ τῶν Ἑλλήνων ἔνιοι, τὸν αὐτὸν τρόπον, ὅνπερ οἱ ὑγιαίνοντες, διαιτέονται πρὸς ἡδονὴν καὶ οὔτ' ἂν ἀπόσχοιντο οὐδενὸς ὧν ἐπιθυμέουσιν οὔθ' ὑποστείλαιντο ἄν. οἱ δὲ ζητήσαντες καὶ εὑρόντες ἰητρικὴν τὴν αὐτὴν ἐκείνοισι διάνοιαν ἔχοντες, περὶ ὧν μοι ὁ πρότερος λόγος εἴρηται, πρῶτον μέν, οἶμαι, ὑφεῖλον τοῦ πλήθεος τῶν σιτίων αὐτῶν τούτων, καὶ ἀντὶ πλειόνων ὀλίγιστα ἐποίησαν. ἐπεὶ δὲ αὐτοῖσι τοῦτο ἔστι μὲν ὅτε πρός τινας τῶν καμνόντων ἤρκεσε | 582 καὶ φανερὸν ἐγένετο ὠφελῆσαν, οὐ μέντοι πᾶσί γε, ἀλλ' ἦσάν τινες οὕτως ἔχοντες, ὡς μηδ' ὀλίγων σιτίων δύνασθαι ἐπικρατεῖν, ἀσθενεστέρου δὲ δή τινος οἱ τοιοίδε ἐδόκεον δεῖσθαι, εὗρον τὰ ῥυφήματα μίξαντες ὀλίγα τῶν ἰσχυρῶν πολλῷ τῷ ὕδατι καὶ ἀφαιρεόμενοι τὸ ἰσχυρὸν τῇ κρήσει τε καὶ ἑψήσει. ὅσοι δὲ μηδὲ τῶν ῥυφημάτων ἐδύναντο ἐπικρατεῖν, ἀφεῖλον καὶ ταῦτα καὶ ἀφίκοντο ἐς πόματα καὶ ταῦτα τῇσί τε κρήσεσι καὶ τῷ πλήθει διαφυλάσσοντες ὡς μετρίως ἔχοι, μήτε πλείω τῶν δεόντων μήτε ἀκρητέστερα προσφερόμενοι μηδὲ ἐνδεέστερα.

6. *Εὖ* δὲ χρὴ τοῦτο εἰδέναι, ὅτι τοῖσι τὰ ῥυφήματα ἐν τῇσι νούσοισιν οὐ συμφέρει, ἀλλὰ φανερῶς, ὅταν

1 δοκέει ἰητρικὴν M 3 ὁκόσοι A 4 ὅμοιοι pro ἔνιοι M 5 οἱ om. M 6 οὐδὲ στείλαιντο (om. ἄν) M 7 τε καὶ M 8 κείνοισι M 11 ἐπὶ δ' M 12 ὅτε om. M 13 μέντοι γε πᾶσιν γε A 14 μὴ A, μὴ δι' M, μηδ' vulg. 16 ἐδόκεον οἱ τοιοῦτοι M τὰ om. M ῥυφ. M υ in ras. 18 ὁκόσοι M 20 καὶ αὐτὰ τῇσί A 21 χρήσεσι M 22 ἔχει (η supra ει) M 24 τοῖσι A (= τισί), εἰδ. τοῦτο οἷσι τὰ ῥ. M 25 ἀλλ' ἄντικρυς ὅταν τοῦτο ποιήσωσι παροξ. M

ταῦτα προσαίρωνται, παροξύνονταί σφισι οἵ τε πυρετοὶ καὶ τὰ ἀλγήματα· καὶ δῆλον τὸ προσενεχθὲν τῇ μὲν νούσῳ τροφή τε καὶ αὔξησις γινόμενον, τῷ δὲ σώματι φθίσις τε καὶ ἀρρωστίη. ὅσοι δὲ ἂν τῶν ἀνθρώπων ἐν ταύτῃ τῇ διαθέσει ἐόντες προσενέγκωνται ξηρὸν σιτίον ἢ μᾶζαν ἢ ἄρτον, καὶ ἢν πάνυ σμικρόν, δεκαπλασίως ἂν μᾶλλον καὶ ἐπιφανέστερον κακωθεῖεν ἢ ῥυφέοντες, δι᾽ οὐδὲν ἄλλο ἢ διὰ | τὴν ἰσχὺν 584 τοῦ βρώματος πρὸς τὴν διάθεσιν· καὶ ὅτῳ ῥυφεῖν μὲν συμφέρει, ἐσθίειν δ᾽ οὔ, εἰ πλείω φάγοι, πολὺ ἂν μᾶλλον κακωθείη, ἢ ⟨εἰ⟩ ὀλίγα· καὶ εἰ ὀλίγα δέ, πονήσειεν ἄν. πάντα δὴ τὰ αἴτια τοῦ πόνου ἐς τὸ αὐτὸ ἀνάγεται, τὰ ἰσχυρότατα μάλιστά τε καὶ ἐπιφανέστατα λυμαίνεσθαι τὸν ἄνθρωπον καὶ τὸν ὑγιᾶ ἐόντα καὶ τὸν κάμνοντα.

7. Τί οὖν φαίνεται ἑτεροῖον διανοηθεὶς ὁ καλεύμενος ἰητρὸς καὶ ὁμολογεομένως χειροτέχνης, ὃς ἐξεῦρε τὴν ἀμφὶ τοὺς κάμνοντας δίαιτάν τε καὶ τροφήν, ἢ ἐκεῖνος ὁ ἀπ᾽ ἀρχῆς τοῖσι πᾶσιν ἀνθρώποισιν τροφήν, ᾗ νῦν χρεώμεθα, ἐξ ἐκείνης τῆς ἀγρίης τε καὶ θηριώδεος διαίτης εὑρών τε καὶ παρασκευασάμενος; ἐμοὶ μὲν γὰρ φαίνεται ὁ αὐτὸς λόγος καὶ ἓν καὶ ὅμοιον τὸ εὕρημα. ὁ μέν, ὅσων μὴ ἐδύνατο ἡ φύσις ἡ ἀνθρωπίνη ὑγιαίνουσα ἐπικρατεῖν ἐμπιπτόντων διὰ τὴν θηριότητά τε

1 σφίσι^ν αὐτοῖσι^ν οἵ τε π., οἳ ss. A[2] 2 καὶ δὴ τοῦτο τὸ A 4 ὁκόσοι M ἂν om. et προσενέγκονται A 6 μάζαν A ἢ post πάνυ ss. M[2] 7 μᾶλλον iterat post ἐπιφ. M 9 ὧ γε pro ὅτω M μὲν om. M 10 πλείω post πολὺ add. A, post ἂν add. ἔτι M 11 ἢ εἰ ὀλ. Erm., ἢ ὀλ. A, ἢ εἰ ὀλ. om. M δὲ om. M 12 ἂν om. A 13 ἄγεται M γε M 19 ἐκεῖνο ὃ ἀπαρχῆς A, κεῖνος M 21 παρασκευάσας M, διαίτης post παρασκ. M 22 τρόπος pro λόγ. M τι post ἓν add. M 23. 24 ἐπικρ. ὑγ. M 24 ἀγριότητά M

καὶ τὴν ἀκρησίην, ὁ δὲ, ὅσων ἡ διάθεσις, ἐν οἵῃ ἂν ἑκάστοτε ἕκαστος τύχῃ διακείμενος, μὴ δύνηται ἐπικρατεῖν, ταῦτα ἐζήτησεν ἀφελεῖν. τί δὴ τοῦτο ἐκείνου
586 *διαφέρει ἀλλ' ἢ [πλέον] τό γε | εἶδος καὶ ὅτι ποικιλώτερον καὶ πλείονος πρηγματίης, ἀρχὴ δὲ ἐκείνη ἡ πρότερον γενομένη;*

8. *Εἰ δέ τις σκέπτοιτο τὴν τῶν ὑγιαινόντων δίαιταν πρὸς τὴν τῶν καμνόντων, εὕροι ἂν τὴν τῶν θηρίων τε καὶ τῶν ἄλλων ζώων οὐ βλαβερωτέρην πρὸς τὴν τῶν ὑγιαινόντων. ἀνὴρ γὰρ κάμνων νοσήματι μήτε τῶν χαλεπῶν τε καὶ ἀπόρων μήτε αὖ τῶν παντάπασιν εὐηθέων, ἀλλ' ὅ τι αὐτῷ ἐξαμαρτάνοντι μέλλει ἐπίδηλον ἔσεσθαι, εἰ ἐθέλοι καταφαγεῖν ἄρτον καὶ κρέας ἢ ἄλλο τι ὧν οἱ ὑγιαίνοντες ἐσθίοντες ὠφελέονται, μὴ πολλόν, ἀλλὰ πολλῷ ἔλασσον ἢ ὑγιαίνων ἂν ἐδύνατο, ἄλλος τε τῶν ὑγιαινόντων φύσιν ἔχων μήτε παντάπασιν ἀσθενέα μήτε αὖ ἰσχυρὴν φάγοι τι ὧν βοῦς ἢ ἵππος φαγὼν ἂν ὠφελοῖτό τε καὶ ἰσχύοι, ὀρόβους ἢ κριθὰς ἢ ἄλλο τι τῶν τοιούτων, μὴ πολύ, ἀλλὰ πολλῷ μεῖον ἢ δύναιτο, οὐκ ἂν ἧσσον ὁ ὑγιαίνων τοῦτο*

1 *τὴν* ante *ἀκρ.* om. M post *ὅσων* desideres *ἂν* 2 *ῇ δυνατὸς* M 3 *τοῦτ'* A 4 post *ἀλλ' ἢ* codd. add. *πλέον*, del. Rhd. *τό τε* M 5 *δ' ἐκ.* M 7. 8 *τὴν τῶν καμνόντων δίαιταν πρ. τ. τ. ὑγιαινόντων* A, *τίς ἡ τῶν καμνόντων δίαιτα πρ. τ. τ. ὑγ.* M 8—10 *οὐ βλαβερωτέραν ἢ περὶ τῶν ὑγιαινόντων πρὸς τὴν τῶν θηρίων τε καὶ πρὸς τὴν τῶν ἄ. ζ.* A, *βλαβερωτέρην* (*οὐ* om.) *ἤπερ τὴν* (*τ* M² praefixit) *τῶν ὑγ. θηρίων τ. κ. πρὸς τὴν τῶν ἄ. ζώιων* M, cf. Herm. XXVI 301 11 *ἀφόρων* (π supra) A, *π* ss. A², *ἀφόρων* M *τῶν* ante *παντ.* om. M 12 *ὅτι* cod. S ap. Foes., *ἢ* A, *οὔτε* M *ἁμαρτ.* M 13 *ἢ ἐθέλει* M *καὶ* om. M 14 *τῶν* pro *ὧν* A 17 *μήτ'* codd. *φαγὼν* codd. 18 *φαγὼν* om. A *ἂν* om. codd. *ἰσχυροὶ* A, unde Littr. *ἰσχύοι*, *ἰσχυρὸν* M 20 *μεῖον* M Erotianus (cf. Littr.), *ἔλασσον* A

ποιήσας πονήσειέ τε καὶ | κινδυνεύσειε κείνου τοῦ 588
νοσέοντος, ὃς τὸν ἄρτον ἢ τὴν μᾶζαν ἀκαίρως προσηνέγκατο. ταῦτα δὴ πάντα τεκμήρια, ὅτι αὕτη ἡ τέχνη πᾶσα ἡ ἰητρικὴ τῇ αὐτῇ ὁδῷ ζητεομένη εὑρίσκοιτο ἄν.

9. Καὶ εἰ μὲν ἦν ἁπλοῦν, ὥσπερ ὑφήγητο, ὅσα μὲν ἦν ἰσχυρότερα, ἔβλαπτεν, ὅσα δ' ἦν ἀσθενέστερα, ὠφέλει τε καὶ ἔτρεφεν καὶ τὸν κάμνοντα καὶ τὸν ὑγιαίνοντα, εὐπετὲς ἂν ἦν τὸ πρῆγμα· πολλὸν γὰρ τοῦ ἀσφαλέος ἂν ἔδει περιλαμβάνοντας ἄγειν ἐπὶ τὸ ἀσθενέστερον. νῦν δὲ οὐκ ἔλασσον ἁμάρτημα οὐδὲ ἧσσον λυμαίνεται τὸν ἄνθρωπον, ἢν ἐλάσσονα καὶ ἐνδεέστερα τῶν ἱκανῶν προσφέρηται. τὸ γὰρ τοῦ λιμοῦ μένος δύναται ἰσχυρῶς ἐν τῇ φύσει τοῦ ἀνθρώπου καὶ γυιῶσαι καὶ ἀσθενέα ποιῆσαι καὶ ἀποκτεῖναι. πολλὰ δὲ καὶ ἄλλα κακὰ ἑτεροῖα τῶν ἀπὸ πληρώσιος, οὐχ ἧσσον δὲ δεινά, καὶ ἀπὸ κενώσιος. διότι πολλὸν ποικιλώτερά τε καὶ διὰ πλείονος ἀκριβείης ἐστί. δεῖ γὰρ μέτρου τινὸς στοχάσασθαι. μέτρον δὲ οὔτε ἀριθμὸν οὔτε σταθμὸν ἄλλον, πρὸς ὃ ἀναφέρων εἴσῃ τὸ ἀκριβές, οὐκ | ἂν εὕροις ἀλλ' 590
ἢ τοῦ σώματος τὴν αἴσθησιν. διὸ ἔργον οὕτω καταμαθεῖν ἀκριβέως, ὥστε σμικρὰ ἁμαρτάνειν ἔνθα ἢ ἔνθα. κἂν ἐγὼ τοῦτον τὸν ἰητρὸν ἰσχυρῶς ἐπαινέοιμι τὸν σμικρὰ ἁμαρτάνοντα. τὸ δὲ ἀτρεκὲς ὀλιγάκις ἔστι

1 κινδυνεύσει ἐκείνου A 3 αὐτὴ M 4 αὐτῇ om. M ὅλῳ pro ὁδῷ A, ς ss. A² 5 ἁπλοῦν A, ἁπλὸν M, ἁπλῶς vulg. ὑφηγῆτο A, ὑφήγηται M 7 καὶ ante τὸν κάμν. om. M 8 ἢ A, ν ss. A² χρῆμα M ἀσφαλεος (-έως M) codd., an ἐπισφαλέος (cf. p. 10, 14)? 9 ἀσθενέστατον M 10 δ' M οὐδ' M ἢ οὐδὲ ἴσον in m. A 12 μέρος M, μένος ἰσχ. ἐνδύνεται A 14 ὑγιῶσαι M 15 μὲν post ἑτεροῖα add. M ἅμα post δὲ add. M καὶ ἀπὸ κεν. om. M 16 διὸν M ποικιλωτέρη M 18 οὐδὲ ἀρ. A, οὐδὲ στ. οὐδὲ ἀρ. οὐδένα M 19 οὐδ' A εὕρωης (ωη in ras.) M ἄλλο ἢ M 23 δ' ἀκριβὲς M ἐστὶ A

κατιδεῖν. ἐπεὶ οἱ πολλοί γε τῶν ἰητρῶν τὰ αὐτά μοι δοκέουσιν τοῖσι κακοῖσι κυβερνήτῃσι πάσχειν. καὶ γὰρ ἐκεῖνοι ὅταν ἐν γαλήνῃ κυβερνῶντες ἁμαρτάνωσιν, οὐ καταφανέες εἰσίν· ὅταν δὲ αὐτοὺς κατάσχῃ χειμών τε μέγας καὶ ἄνεμος ἐξώστης, φανερῶς πᾶσιν ἤδη ἀνθρώποις δι' ἀγνωσίην καὶ ἁμαρτίην δῆλοί εἰσιν ἀπολέσαντες τὴν ναῦν. οὕτω δὲ καὶ οἱ κακοί τε καὶ οἱ πλεῖστοι ἰητροί, ὅταν μὲν θεραπεύωσιν ἀνθρώπους μηδὲν δεινὸν ἔχοντας, ἐς οὓς ἄν τις τὰ μέγιστα ἐξαμαρτάνων οὐδὲν δεινὸν ἐργάσαιτο — πολλὰ δὲ τοιαῦτα νοσήματα καὶ πολλὸν πλείω τῶν δεινῶν ἀνθρώποις συμβαίνει —, ἐν μὲν τοῖσι τοιούτοις ἁμαρτάνοντες οὐ καταφανέες εἰσὶν τοῖσιν ἰδιώτῃσιν· ὅταν δ' ἐντύχωσιν μεγάλῳ τε καὶ ἰσχυρῷ καὶ ἐπισφαλεῖ νοσήματι, τότε σφέων τά τε ἁμαρτήματα καὶ ἡ ἀτεχνίη πᾶσι καταφανής· οὐ γὰρ ἐς μακρὸν αὐτῶν ἑκατέρου αἱ τιμωρίαι, ἀλλὰ διὰ τάχεος πάρεισιν.

10. *Ὅτι δ' οὐδὲν ἐλάσσους ἀπὸ κενώσιος ἀκαίρου κακοπάθειαι γίνονται τῷ ἀνθρώπῳ ἢ ἀπὸ πληρώσιος, καταμανθάνειν καλῶς ἔχει ἐπαναφέροντας ἐπὶ τοὺς ὑγιαίνοντας. ἔστι γὰρ οἷσιν αὐτῶν συμφέρει μονοσιτεῖν, καὶ τοῦτο διὰ τὸ συμφέρον οὕτως αὐτοῖσιν ἐτάξαντο, ἄλλοισι δὲ ἀριστῆν διὰ τὴν αὐτὴν ἀνάγκην·*
592 *οὕτω γὰρ | αὐτοῖσι συμφέρει. καὶ μὴν τοῦτ' εἰσὶ οἳ δι' ἡδονὴν ἢ δι' ἄλλην τινὰ συγκυρίην ἐπετήδευσαν*

1 *ταὐτὰ* M 4 *δ'* A 5 *ἄνεμός τ. μ. κ. χ.* (*ἐξώστης* om.) *φαν. ἤδη π. ἀ.* M 8 *οἱ* om. M *θεραπεύσωσιν* M 9 *ἢν* A 10 *ἁμαρτ.* M *τὰ τοιαῦτα* M 11 *πολλόν τι πλείω* A, *πολὺ πλεῖον* M 12 *δὴ* post *μὲν* add. M 13 *τοῖς* M *ὁκόταν* M 15 *τε* om. M *τέχνηι* M post *καταφ.* add. *ἐστι(ν²)* M 16 *ἑκάστου* M 17 *διατάχεως* A 21 *ἡμῶν* pro *αὐτῶν* A 22 *αὐτοὶ συνετάξαντο* A 23 *ἄλλοισί τε* M 24 *μὴ τούτοισιν* (*ν* A³) *οἳ* codd. pro *μὴν τοῦτ' εἰσὶ οἳ* (Rhd.) 25 *δι'* ante *ἀλλ.* om. M

ὁπότερον αὐτῶν. τοῖσι μὲν γὰρ πλείστοισι τῶν ἀνθρώπων οὐδὲν διαφέρει, ὁπότερον ἂν ἐπιτηδεύσωσιν, εἴτε μονοσιτεῖν εἴτε ἀριστῆν, τούτῳ τῷ ἔθει χρῆσθαι. εἰσὶ δέ τινες οἳ οὐκ ἂν δύναιντο ἔξω τοῦ συμφέροντος ποιέοντες ῥηϊδίως ἀπαλλάσσειν, ἀλλὰ συμβαίνει αὐτῶν ἑκατέροισι παρ' ἡμέρην μίαν καὶ ταύτην οὐχ ὅλην μεταβάλλουσιν ὑπερφυὴς κακοπάθεια. οἱ μὲν γὰρ ἢν ἀριστήσωσιν μὴ συμφέροντος αὐτοῖσι, εὐθέως βαρέες καὶ νωθροὶ καὶ τὸ σῶμα καὶ τὴν γνώμην χάσμης τε καὶ νυσταγμοῦ καὶ δίψης πλήρεες· ἢν δὲ καὶ ἐπιδειπνήσωσι, καὶ φῦσα καὶ στρόφος καὶ ἡ κοιλίη καταρρήγνυται. καὶ πολλοῖσιν ἀρχὴ νούσου αὕτη μεγάλης ἐγένετο, καὶ ἢν τὰ σιτία, ἃ μεμαθήκεσαν ἅπαξ ἀναλίσκειν, ταῦτα δὶς προσενέγκωνται καὶ μηδὲν πλείω. τοῦτο δέ, ἢν ἀριστῆν μεμαθηκώς τις — καὶ οὕτως αὐτῷ συμφέρον ἦν — μὴ ἀριστήσῃ, ὅταν τάχιστα παρέλθῃ ἡ ὥρη, εὐθὺς ἀδυναμίη δεινή, τρόμος, ἀψυχίη· ἐπὶ τούτοις ὀφθαλμοὶ κοῖλοι, οὖρον χλωρότερον καὶ θερμότερον, στόμα πικρόν, καὶ τὰ σπλάγχνα δοκεῖ οἱ κρέμασθαι, σκοτοδινίη, δυσθυμίη, δυσεργείη. ταῦτα δὲ πάντα καὶ ὅταν δειπνεῖν ἐπιχειρήσῃ· ἀηδέ|στερος μὲν ὁ σῖτος, ἀναλίσκειν δὲ οὐ 594
δύναται ὅσα ἀριστιζόμενος πρότερον ἐδείπνει. ταῦτα δὲ αὐτὰ μετὰ στρόφου καὶ ψόφου καταβαίνοντα συγκαίει

1 ὁπότερων A 2 πότ. M ἢν ἐπιτηδεύουσιν A
5 ποιοῦν A 8 συμφερόντως (o ss.) A, o et acc. in paenult. ss. A^3 εὐθὺς M 9 καὶ ante τὸ σῶμα om. M 12 αὐτὴ AM, αὕτη vulg. μεγάλη M 13 καὶ ante ἢν om. M ante σιτία add. αὐτὰ M ἃ om. A μεμαθήκει M 14 προσενέγκηται M 15 εἰ M 16 ἦν om. M, ἢν A 17. 18 ὀφθ. χλωρότεροι, οὖρ. παχὺ κ. θερμὸν, στ. M 19 οἱ δοκέει M, δοκέοι A σκοτοδί(εί m. 1)νη M 20 δυσορ(ερ m. 2)γίη δυσθ. M 21 ἀηδ. μ. ὁ σ. om. M 22 δυνατὸς ὁ ἀρ. M 23 ψόφ. τε καὶ στρ. M καταβαίνον (τα ss.) A, τα ss. A^3 συγκαίη A, συγκλείει M

τὴν κοιλίην, δυσκοιτέουσί τε καὶ ἐνυπνιάζουσι τεταραγμένα τε καὶ θορυβώδεα. πολλοῖσι δὲ καὶ τούτων αὕτη ἀρχὴ νούσου ἐγένετο.

11. *Σκέψασθαι δὲ χρή, διὰ τίνα αἰτίην αὐτοῖσιν ταῦτα συνέβη. τῷ μὲν οἶμαι μεμαθηκότι μονοσιτεῖν, ὅτι οὐκ ἀνέμεινεν τὸν χρόνον τὸν ἱκανόν, μέχρι αὐτοῦ ἡ κοιλίη τῶν τῇ προτεραίῃ προσενηνεγμένων σιτίων ἀπολαύσῃ τελέως καὶ ἐπικρατήσῃ καὶ λαπαχθῇ τε καὶ ἡσυχάσῃ, ἀλλ' ἐπὶ ζέουσάν τε καὶ ἐξυμωμένην καινὰ ἐπεσηνέγκατο. αἱ δὲ τοιαῦται κοιλίαι πολλῷ τε βραδύτερον πέσσουσι καὶ πλείονος δέονται ἀναπαύσιός τε καὶ ἡσυχίης. ὁ δὲ μεμαθηκὼς ἀριστίζεσθαι, διότι, ἐπειδὴ τάχιστα ἐδεήθη τὸ σῶμα τροφῆς καὶ τὰ πρότερα κατανάλωτο καὶ οὐκ εἶχεν οὐδεμίαν ἀπόλαυσιν, οὐκ εὐθέως αὐτῷ προσεγένετο καινὴ τροφή, φθίνει δὴ καὶ συντήκεται ὑπὸ λιμοῦ. πάντα γάρ, ἃ λέγω πάσχειν τὸν τοιοῦτον ἄνθρωπον, λιμῷ ἀνατίθημι. φημὶ δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους ἅπαντας, οἵτινες ἂν ὑγιαίνοντες ἄσιτοι δύο ἡμέρας ἢ τρεῖς γένωνται, ταῦτα πείσεσθαι, οἷάπερ ἐπὶ τῶν ἀναρίστων γενομένων εἴρηκα.*

596 12. *Τὰς δὲ τοιαύτας φύσιας ἔγωγέ φημι τὰς ταχέως τε καὶ ἰσχυρῶς τῶν ἁμαρτημάτων ἀπολαυούσας ἀσθενεστέρας εἶναι τῶν ἑτέρων. ἐγγύτατα δὲ τοῦ ἀσθενέοντός ἐστιν ὁ ἀσθενής, ἔτι δὲ ἀσθενέστερος ὁ*

1 *ἐνυπνιάζονται* M 2 *τε* om. M 3 *αὐτὴ* MA, mut. A[3] in *αὕτη* 4 *τίνα αἰτίαν* A, *τίνας προφάσιας* M 7 *προτέρα ἢ* M 8 *ἀπολλύσῃ* M 9 *ἐπιζέουσαν* libri 12 *ὅτι οὐκ ἐπειδὴ* M 13 *τροφῆς τὸ σ.* M 15 *οὐκ* om. M *παρεγένετο* M 16 *δεῖ* A, mut. in *δὴ* A[3], *δὲ* M 19 *ἀνάσιτοι*, om. *ὑγ.* M *δύο ἢ τρ. ἡ.* M 20 *οἷα περὶ τῶν ἀρίστων* M *γεινομ.* A, mut. A[4] in *γινομ.* 22 *τὰς* ante *ταχ.* om. M 23 *ἀπολλύουσας* M 25 *ἔστι* pro *ἔτι* M

ἀσθενέων, καὶ μᾶλλον αὐτῷ προσήκει ὅ τι ἂν τοῦ καιροῦ ἀποτυγχάνῃ πονεῖν. χαλεπὸν δὲ τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην τυγχάνειν αἰεὶ τοῦ ἀτρεκεστάτου. πολλὰ δὲ εἴδεα κατ' ἰητρικὴν ἐς τοσαύτην ἀκρίβειαν ἥκει, περὶ ὧν εἰρήσεται. οὔ φημι δὲ δεῖν διὰ τοῦτο τὴν τέχνην ὡς οὐκ ἐοῦσαν οὐδὲ καλῶς ζητεομένην τὴν ἀρχαίην ἀποβάλλεσθαι, εἰ μὴ ἔχει περὶ πάντα ἀκρίβειαν, ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ ἐγγὺς οἶμαι τοῦ ἀτρεκεστάτου δύνασθαι ἥκειν λογισμῷ ἐκ πολλῆς ἀγνωσίης | θαυμάζειν τὰ ἐξευρημένα, ὡς καλῶς καὶ 598
ὀρθῶς ἐξεύρηται καὶ οὐκ ἀπὸ τύχης.

13. Ἐπὶ δὲ τῶν τὸν καινὸν τρόπον τὴν τέχνην ζητεύντων ἐξ ὑποθέσιος τὸν λόγον ἐπανελθεῖν βούλομαι. εἰ γάρ τί ἐστιν θερμὸν ἢ ψυχρὸν ἢ ξηρὸν ἢ ὑγρὸν τὸ λυμαινόμενον τὸν ἄνθρωπον, καὶ δεῖ τὸν ὀρθῶς ἰητρεύοντα βοηθεῖν τῷ μὲν θερμῷ ἐπὶ τὸ ψυχρόν, τῷ δὲ ψυχρῷ ἐπὶ τὸ θερμόν, τῷ δὲ ξηρῷ ἐπὶ τὸ ὑγρόν, τῷ δὲ ὑγρῷ ἐπὶ τὸ ξηρόν. ἔστω μοι ἄνθρωπος μὴ τῶν ἰσχυρῶν φύσει, ἀλλὰ τῶν ἀσθενεστέρων· οὗτος δὲ πυροὺς ἐσθιέτω, οὓς ἂν ἀπὸ τῆς ἅλω ἀνέλῃ, ὠμοὺς καὶ ἀργοὺς καὶ κρέα ὠμὰ καὶ πινέτω ὕδωρ. ταύτῃ χρεώμενος τῇ διαίτῃ εὖ οἶδ' ὅτι πείσεται πολλὰ καὶ δεινά· καὶ γὰρ πόνους πονήσει καὶ τὸ

1 ἦν A 2 δὴ M 3. 4 ἀκρατεστάτου A 5 εἴκῃ M et A[1], ἥκει corr. A[3] δὴ M 7 ἀποβαλέσθαι M 8 διὰ τοῦ M εἶναι pro οἶμαι M 9 ὁμοῦ add. ante δύν. M, οὐ add. A post λογισμῷ add. προσίεσθαι καὶ Severinus ap. Foesium et Vossianus Ermerinsii, unde post ἀγνωσ. transposuit Coraes o. p. tom. V, notes p. 141 (Oeuvres posthumes de Coray, Athènes 1887) 13 ἐξ ὑπ. ζητεόντ. M τὸν om. libri praeter L λόγων A 14 τι om. M 16 μὲν om. M 18 δ' M ἐστομοιος A, mut. A[3] in ἔστω μοι ὁ 21 ἀνέληται M καὶ ἀργοὺς om. A

σῶμα ἀσθενὲς ἔσται καὶ ἡ κοιλίη φθαρήσεται καὶ ζῆν πολὺν χρόνον οὐ δυνήσεται. τί δὴ χρὴ βοήθημα παρεσκευάσθαι ὧδ' ἔχοντι; θερμὸν ἢ ψυχρὸν ἢ ξηρὸν ἢ ὑγρόν; δῆλον ὅτι τούτων τι. εἰ γὰρ τὸ λυμαινόμενόν ἐστιν τούτων τὸ ἕτερον, τῷ ὑπεναντίῳ προσήκει λῦσαι, ὡς ὁ ἐκείνων λόγος ἔχει. τὸ μὲν γὰρ βεβαιότατόν τε καὶ προφανέστατον φάρμακον ἀφελόντα τὰ διαιτήματα, οἷς ἐχρῆτο, ἀντὶ μὲν τῶν πυρῶν ἄρτον διδόναι, ἀντὶ δὲ τῶν ὠμῶν κρεῶν ἑφθά, πιεῖν τε ἐπὶ τούτοισιν οἶνον. ταῦτα μεταβαλόντα οὐχ οἷόν τε μὴ οὐχ ὑγιᾶ γενέσθαι, ἤν γε μὴ παντάπασιν ᾖ διεφθαρμένος ὑπὸ χρόνου τε καὶ τῆς διαίτης. τί δὴ φήσομεν; πότερον αὐτῷ ἀπὸ ψυχροῦ κακοπαθέοντι θερμὰ ταῦτα
600 προσενέγ|καντες ὠφέλησαν ἢ τἀναντία; οἶμαι γὰρ ἔγωγε πολλὴν ἀπορίην τῷ ἐρωτηθέντι παρασχεῖν. ὁ γὰρ τὸν ἄρτον παρασκευάζων τῶν πυρῶν τὸ θερμὸν ἢ τὸ ψυχρὸν ἢ τὸ ξηρὸν ἢ τὸ ὑγρὸν ἀφείλατο; ὃ γὰρ καὶ πυρὶ καὶ ὕδατι δέδοται καὶ ἄλλοις πολλοῖσι ἥργασται, ὧν ἕκαστον ἰδίην δύναμιν καὶ φύσιν ἔχει, τὰ μὲν τῶν ὑπαρχόντων ἀποβέβληκε, ἄλλοισι δὲ κέκρηταί τε καὶ μέμικται.

14. *Οἶδα* μὲν γὰρ καὶ τάδε δήπου, ὅτι διαφέρει ἐς τὸ σῶμα τοῦ ἀνθρώπου καθαρὸς ἄρτος ἢ συγκο-

3 *παρασκευάσασθαι* M 3. 4 *ἢ ὑγρὸν ἢ ξηρ.* A 4 *ἁπλὸν γὰρ* pro *δῆλον* M 5 *αὐτῶν* post *λυμ.* add. M 6 *ὁ* om. M 8 *οἷσιν ἐχρῶντο* M 9 *δ'* M pro *τε* 10 *οἶνον* M *μεταβάλλοντα* A 11 *διεφθαρμένου καὶ τῆς διαίτης* intermedia omittens A 12 *φήσωμεν* A 13 *πρότερον* A *ὑπὸ* M 14 *ὠφέλησαν* M[1], *ὠφελῆσαι ἂν* M[2] *ταaντι* A[1], corr. A[3] 15 *τῷ* om. AM, add. EHK *γὰρ* om. M 16 *σκευάζ.* M 17 *ἀφείλετο* M *ὁ γὰρ καὶ π.* M, *καὶ* post *γὰρ* om. A 18 *δέδευται* A *ἄλλοις πολλοῖσιν* (*ν* ss. A[3]) *ἤργ.* A, *πολλοῖσιν ἄλλοισιν εἴργ.* M 19 *καὶ* ante *τὰ* add. M 20 *γὰρ* post *μὲν* add. A *κέχρηται* sine *δὲ* A 21 *τε* om. M

μιστός, ἢ ἀπτίστων πυρῶν ἢ ἐπτισμένων, ἢ πολλῷ ὕδατι πεφυρημένος ἢ ὀλίγῳ, ⟨ἢ⟩ ἰσχυρῶς πεφυρημένος ἢ ἀφύρητος, ἢ ἔξοπτος ἢ ἔνωμος, ἄλλα τε πρὸς τούτοισι μυρία. ὡς δ' αὔτως καὶ περὶ μάζης. καὶ αἱ δυνάμιες μεγάλαι τε ἑκάστου καὶ οὐδὲν ἡ ἑτέρη τῇ ἑτέρῃ ἐοικυῖα. ὅστις δὲ ταῦτα οὐκ ἐπέσκεπται ἢ σκεπτόμενος οὐκ οἶδεν, πῶς ἄν τι οὗτος δύναιτο τῶν κατ' ἄνθρωπον παθημάτων εἰδέναι; ὑπὸ γὰρ ἑνὸς ἑκάστου τούτων πάσχει τε καὶ ἑτεροιοῦται ὁ ἄνθρωπος ἢ τοῖον ἢ τοῖον. καὶ διὰ τούτων πᾶς ὁ βίος καὶ ὑγιαίνοντι καὶ ἐκ νούσου ἀνατρεφομένῳ καὶ κάμνοντι. οὐκ ἂν οὖν ἕτερα τούτων χρησιμώτερα οὐδὲ ἀναγκαιότερα εἴη εἰδέναι δήπου, ὡς δὲ καλῶς καὶ λογισμῷ προσήκοντι ζητήσαντες πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν εὗρον αὐτὰ οἱ πρῶτοι εὑρόντες καὶ ᾠήθησαν ἀξίην τὴν τέχνην θεῷ προσθεῖναι, ὥσπερ καὶ [602] *νομίζεται. οὐ γὰρ τὸ ξηρὸν οὐδὲ τὸ ὑγρὸν οὐδὲ τὸ θερμὸν οὐδὲ τὸ ψυχρὸν οὐδὲ ἄλλο τούτων ἡγησάμενοι οὐδὲν οὔτε λυμαίνεσθαι οὔτε προσδεῖσθαι οὐδενὸς τούτων τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἰσχυρὸν ἑκάστου καὶ τὸ κρέσσον τῆς φύσιος τῆς ἀνθρωπείης, οὗ μὴ ἠδύνατο κρατεῖν, τοῦτο βλάπτειν ἡγήσαντο καὶ τοῦτο ἐξήτησαν ἀφαιρεῖν. ἰσχυρότατον δ' ἐστὶ τοῦ μὲν γλυκέος τὸ γλυκύτατον, τοῦ δὲ πικροῦ τὸ πικρότατον, τοῦ δὲ ὀξέος τὸ ὀξύτατον, ἑκάστου δὲ πάντων τῶν ἐνεόντων ἡ ἀκμή.*

2 πεφυρ. ἢ ὀλ. (om. ἢ) ἰσχ. AM, om. caet. codd. 3 ἔξωπτ. M 4 δὲ post δυνάμ. add. M 6 τίς δὲ τ. μὴ σκεπτόμενος οὐκ οἶδε πῶς M, οἶδε δ' ὅπως A, sed δ' ὅ A[4] punctis inclusit et accentum in ω posuit 7 ἂν ἔτι οὔτ. δ. τι τῶν A κατὰ τὸν ἄ. M, κάθρωπον A, ss. τὰν A[3] 11 ἂν om. A 12 οὐδ' M ἔη M 14 καὶ om. M 15 θῷ A ὡς M 17 οὐδ' M 17. 18 οὐδὲν ἡγησ. M 19 ἀλλ' ὅ τι ἰσχ. M 20 ἀνθρωπίνης M ἃ οὐκ ἠδ. A 21 τοῦ βλ. pro τοῦτο βλ. M 22 ἀφελέειν M ἰσχυρότερον A 24 ἐόντων ἡ ἄλμη M, ἡ om. A

ταῦτα γὰρ ἑώρων καὶ ἐν τῷ ἀνθρώπῳ ἐνεόντα καὶ λυμαινόμενα τὸν ἄνθρωπον. ἔνι γὰρ ἐν ἀνθρώπῳ καὶ ἁλμυρὸν καὶ πικρὸν καὶ γλυκὺ καὶ ὀξὺ καὶ στρυφνὸν καὶ πλαδαρὸν καὶ ἄλλα μυρία παντοίας δυνάμιας ἔχοντα πλῆθός τε καὶ ἰσχύν. ταῦτα μὲν μεμιγμένα καὶ κεκρημένα ἀλλήλοισιν οὔτε φανερά ἐστιν οὔτε λυπεῖ τὸν ἄνθρωπον. ὅταν δέ τι τούτων ἀποκριθῇ καὶ αὐτὸ ἐφ' ἑωυτοῦ γένηται, τότε καὶ φανερόν ἐστι καὶ λυπεῖ τὸν ἄνθρωπον· τοῦτο δέ, τῶν βρωμάτων ὅσα ἡμῖν ἀνεπιτήδειά ἐστιν καὶ λυμαίνεται τὸν ἄνθρωπον ἐμπεσόντα, τούτων ἓν ἕκαστον ἢ πικρόν ἐστιν [καὶ ἄκρητον] ἢ ἁλμυρὸν ἢ ὀξὺ ἢ ἄλλο τι ἄκρητόν τε καὶ ἰσχυρόν, καὶ διὰ τοῦτο ταρασσόμεθα ὑπ' αὐτῶν, ὥσπερ καὶ ὑπὸ
604 *τῶν ἐν | τῷ σώματι ἀποκρινομένων. πάντα δὲ ὅσα ἄνθρωπος ἐσθίει ἢ πίνει, τὰ τοιαῦτα βρώματα ἥκιστα τοιούτου χυμοῦ ἀκρήτου τε καὶ διαφέροντος δῆλά ἐστιν μετέχοντα, οἷον ἄρτος τε καὶ μᾶζα καὶ τὰ ἑπόμενα τούτοις, οἷς εἴθισται ὁ ἄνθρωπος πλείστοισί τε καὶ αἰεὶ χρῆσθαι, ἔξω τῶν πρὸς ἡδονήν τε καὶ κόρον ἠρτυμένων τε καὶ ἐσκευασμένων. καὶ ἀπὸ τούτων πλείστων ἐσιόντων ἐς τὸν ἄνθρωπον τάραχος καὶ ἀπόκρισις τῶν ἀμφὶ τὸ σῶμα δυναμίων ἥκιστα γίνεται, ἰσχὺς δὲ καὶ αὔξησις καὶ τροφὴ μάλιστα δι' οὐδὲν ἕτερον γίνεται ἢ ὅτι εὖ τε κέκρηται καὶ οὐδὲν ἔχει οὔτε ἄκρητον οὔτε ἰσχυρόν, ἀλλ' ὅλον ἕν τε γέγονε καὶ ἁπλοῦν [καὶ ἰσχυρόν].*

3 *κ. π. κ. ἁλμ.* M 5 *αὐτὰ* A 10 *εἰσὶν* A 11 *ἐσπεσόντα* A *ἓν* om. M *πικρόν ἐστιν καὶ ἄκρητον ἢ ἁλμ.* A, *πικρόν τι καὶ ἀκρητόν ἐστιν ἁλμ.* M, *καὶ ἄκρ.* reiecit Rhd. 13 *ὑπὸ* om. M 14 *δ'* M 17 *ἔσται* M 21 *ταραχή τε καὶ* M 22 *δυναμένων* M, *ν* med. cum rasura 23 *ἰσχύς τε* M 24 *γίνεται* om. M *συγκέκρηται* M prius *οὔτε* om., pro altero *οὐδ'* M 26 *κ. ἰσχ.* (nisi praestat *κ. ἰσόμοιρον* cf. p. 53, 18—20) ex v. 25 videtur repetitum.

15. *Ἀπορέω δ᾽ ἔγωγε, οἱ τὸν λόγον ἐκεῖνον λέγοντες καὶ ἄγοντες ἐκ ταύτης τῆς ὁδοῦ ἐπὶ ὑπόθεσιν τὴν τέχνην τίνα ποτὲ τρόπον θεραπεύουσι τοὺς ἀνθρώπους, ὥσπερ ὑποτίθενται. οὐ γάρ ἐστιν αὐτοῖς, οἶμαι, ἐξευρημένον αὐτό τι ἐφ᾽ ἑωυτοῦ θερμὸν ἢ ψυχρὸν ἢ ξηρὸν ἢ ὑγρὸν μηδενὶ ἄλλῳ εἴδει κοινωνέον. ἀλλ᾽ οἴομαι ἔγωγε ταὐτὰ βρώματα καὶ πόματα αὐτοῖσιν ὑπάρχειν, οἷσι πάντες χρεώμεθα. προστιθέασι δὲ τῷ μὲν εἶναι θερμῷ, | [606] τῷ δὲ ψυχρῷ, τῷ δὲ ξηρῷ, τῷ δὲ ὑγρῷ, ἐπεὶ ἐκεῖνό γε ἄπορον προστάξαι τῷ κάμνοντι θερμόν τι προσενέγκασθαι. εὐθὺ γὰρ ἐρωτήσει· τί; ὥστε ληρεῖν ἀνάγκη ἢ ἐς τούτων τι τῶν γινωσκομένων καταφεύγειν. εἰ δὲ δὴ τυγχάνει τι θερμὸν ἐὸν στρυφνόν, ἄλλο δὲ θερμὸν ἐὸν πλαδαρόν, ἄλλο δὲ θερμὸν ἄραδον ἔχον — ἔστι γὰρ καὶ ἄλλα πολλὰ θερμὰ καὶ ἄλλας πολλὰς δυνάμιας ἔχοντα αὐτοῖς ὑπεναντίας — ἢ διοίσει τι αὐτῶν προσενεγκεῖν τὸ θερμὸν καὶ στρυφνὸν ἢ τὸ θερμὸν καὶ πλαδαρὸν ἢ ἅμα τὸ ψυχρὸν καὶ στρυφνόν — ἔστι γὰρ καὶ τοιοῦτο — ἢ τὸ ψυχρόν τε καὶ πλαδαρόν· ὥσπερ γὰρ ἐγὼ οἶδα, πᾶν τοὐναντίον ἀφ᾽ ἑκατέρου αὐτῶν ἀποβαίνει,*

1 *εἰ* M in ras., antea *οἱ* 2 *ἀπόντες* M, *ἄγοντ.* A, *ἀπάγοντ.* caet. 3 *θεραπεύουσι* A, *θεραπεύσειεν* (*ἂν* add. m. 2) M, *θεραπεύσουσι* vulg. 4 *αὐτέοισιν ὡς ἐγὼ οἶμαι* M 7 ante *πόμ.* add. *τὰ* A *πόμ. καὶ βρ.* M 9 *θερμὸν* A proxima superscribendo mut. A^4: *τὸ δὲ ψυχρόν, τὸ δὲ ξηρόν, τὸ δὲ ὑγρόν* 11 *εὐθὺς* M post *τί* add. *ἐστιν* M 12 *γενομένων* M 13 *τὸ* pro *τι* M 14 *στριφν.* ubique M *ἐὸν* om. M 15 *ἔχειν* A *ἄλλα τε θερμὰ* (*πολλὰ* om.) M 16 *ἄλλαι* (*ι* in ras.) A *πολλὰς* om. M 16. 17 *ἔχοντα* (*τα* ss. A^4) *αὐτοῖς ὑπ.* A, *ὑπεν. ἑωυτῃσιν ἔχ.* M 17 *ἢ διοίσει τι* M, *εἰ δεοίσει τί* A, *οι* mut. A^4 in *η*, *γρ εἰ δεήσει* A^3 i. m., mut. A^4 in *εἰ δὲ οἷσι* 18 *καὶ στρ. . . . θερμὸν* om. A *τὸ* ante *πλαδ.* et (19) ante *στρ.* add. A 19. 20 *τοιοῦτο ἢ* (mut. A^2 in *τοιοῦτον*) *τὸ* (mut. A^3 in *τι*) *ψ.* A, *τοῦτο ἢ τὸ ψ.* M 20 *ὡς μὲν γὰρ* M 21 *ἐφ᾽ ἑκ.* M *ἀποβαίνει*^{ν} A

οὐ μοῦνον ἐν ἀνθρώπῳ, ἀλλὰ καὶ ἐν σκύτει καὶ ἐν ξύλῳ καὶ ἐν ἄλλοις πολλοῖς, ἅ ἐστιν ἀνθρώπου ἀναισθητότερα. οὐ γὰρ τὸ θερμόν ἐστιν τὸ τὴν μεγάλην δύναμιν ἔχον, ἀλλὰ τὸ στρυφνὸν καὶ τὸ πλαδαρὸν καὶ τἄλλα ὅσα μοι εἴρηται καὶ ἐν τῷ ἀνθρώπῳ καὶ ἔξω τοῦ ἀνθρώπου, καὶ ἐσθιόμενα καὶ πινόμενα καὶ ἔξωθεν ἐπιχριόμενά τε καὶ προσπλασσόμενα.

16. *Ψυχρότητα δ' ἐγὼ καὶ θερμότητα πασέων ἥκιστα τῶν δυναμίων νομίζω δυναστεύειν ἐν τῷ σώματι διὰ τάσδε τὰς αἰτίας· ὃν μὲν ἂν δήπου χρόνον μεμιγμένα αὐτὰ αὐτοῖς ἅμα τὸ θερμόν τε καὶ ψυχρὸν ἐνῇ, οὐ*
608 *λυπεῖ. κρῆσις γὰρ καὶ μετριό|της τῷ μὲν θερμῷ γίνεται ἀπὸ τοῦ ψυχροῦ, τῷ δὲ ψυχρῷ ἀπὸ τοῦ θερμοῦ καὶ τἄλλα κατὰ λόγον. ὅταν δ' ἀποκριθῇ χωρὶς ἑκάτερον, τότε λυπεῖ. ἐν δὲ δὴ τούτῳ τῷ καιρῷ, ὅταν τὸ ψυχρὸν ἐπιγένηται καί τι λυπήσῃ τὸν ἄνθρωπον, διὰ τάχεος πρῶτον δι' αὐτὸ τοῦτο πάρεστιν τὸ θερμὸν αὐτόθεν ἐκ τοῦ ἀνθρώπου, οὐδεμιῆς βοηθείης οὐδὲ παρασκευῆς δεόμενον. καὶ ταῦτα καὶ ἐν ὑγιαίνουσι τοῖς ἀνθρώποις ἀπεργάζεται καὶ κάμνουσι. τοῦτο μέν, εἴ τις θέλει ὑγιαίνων χειμῶνος διαψῦξαι τὸ σῶμα ἢ λουσάμενος ψυχρῷ ἢ ἄλλῳ τῳ τρόπῳ, ὅσῳ ἂν ἐπὶ πλεῖον αὐτὸ ποιήσῃ, καὶ ἤν γε μὴ παντάπασιν παγῇ τὸ σῶμα, ὅταν εἵματα λάβῃ καὶ ἔλθῃ ἐς τὴν σκέπην, ἔτι μᾶλλον καὶ ἐπὶ πλεῖον θερμαίνεται τὸ σῶμα· τοῦτο δέ,*

1 *κύστει* M 4 *τὸ* ante *πλ.* om. M 8 *ἔγωγε* M 10 *προφάσιας· ὃ* M 11 *ταῦτα ἑαυτοῖς κτλ.* A, *αὐτὰ αὐτέοισιν ἅμα τὸ ψ. τε κ. θ. ᾖ* M 12. 13 *ψυχρῷ γ. ἀ. τ. θερμοῦ, τῷ δὲ θερμῷ ἀ. τ. ψ.* M 14 *καὶ τἄλλα κ. λ.* om. M 15 *δεῖ* A, *ἡ* ss. A[3] 16 *ἐγγέν.* M 21 *θέλει* mut. M[2] in *θέλοι* 22 *ἄλλῳ* post *τῳ* iterat M *ἣν* pro *ἂν* A 22. 23 *ἂν αὐτὸ ἐπιπλέον* M 24 *εἵματα* A *ἔτι* om. M 25 *θεμαίν.* M

εἰ ἐθέλοι ἐκθερμανθῆναι ἰσχυρῶς ἢ λουτρῷ θερμῷ ἢ πυρὶ πολλῷ, ἐκ δὲ τούτου τὸ αὐτὸ εἷμα ἔχων ἐν τῷ αὐτῷ χωρίῳ τὴν διατριβὴν ποιεῖσθαι ὥσπερ διεψυγμένος, πολὺ φαίνεται καὶ ψυχρότερος καὶ ἄλλως φρικαλεώτερος· ἢ εἰ ῥιπιζόμενός τις ὑπὸ πνίγεος καὶ παρα|σκευαζόμενος αὐτὸς ἑωυτῷ ψῦχος ἐκ τοιούτου ἂν 610 τρόπου διαπαύσαιτο τοῦτο ποιέων, δεκαπλάσιον ἔσται τὸ καῦμα καὶ πνῖγος ἢ τῷ μηδὲν τοιοῦτο ποιέοντι. τόδε δὴ καὶ πολὺ μέζον· ὅσοι ἂν διὰ χιόνος ἢ ἄλλου ψύχεος βαδίσαντες ῥιγώσωσι διαφερόντως πόδας ἢ χεῖρας ἢ κεφαλήν, οἷα πάσχουσιν ἐς τὴν νύκτα, ὅταν περισταλέωσί τε καὶ ἐν ἀλέῃ γένωνται ὑπὸ καύματος καὶ κνησμοῦ· καὶ ἔστιν οἷσι φλύκταιναι ἀνίστανται ὥσπερ τοῖς ἀπὸ πυρὸς κατακεκαυμένοις. καὶ οὐ πρότερον τοῦτο πάσχουσιν, πρὶν θερμανθέωσιν. οὕτως ἑτοίμως ἑκάτερον αὐτῶν ἐπὶ θάτερον παραγίνεται. μυρία δ' ἂν καὶ ἄλλα ἔχοιμι εἰπεῖν. τὰ δὲ κατὰ τοὺς νοσέοντας, οὐχὶ ὅσοις ἂν ῥῖγος γένηται, τούτοις ὀξύτατος ὁ πυρετὸς ἐκλάμπει; καὶ οὐχὶ ὅπως ἰσχυρός, ἀλλὰ καὶ παυόμενος δι' ὀλίγου καὶ ἄλλως τὰ πολλὰ ἀσινής, [καὶ] ὅσον ἂν χρόνον παρῇ διάθερμος; καὶ διεξιὼν διὰ παντὸς τελευτᾷ ἐς τοὺς πόδας μάλιστα, οὗπερ τὸ ῥῖγος καὶ | ἡ 612 ψῦξις νεηνικωτάτη καὶ ἐπὶ πλεῖον ἐνεχρόνισεν· πάλιν

2 πολλῷ πυρὶ M 3 ὁ ante διεψυγμ. add. M 4 φανεῖται M 5 εἰ ante ῥιπ. om. libri, at ἠερπιζόμ. A[1], ss. ρι A[2] 6 παρασκευάζων M ἐκ τούτου τοῦ τρ. M 7 πάρεστι M 8 μηδὲ τοιοῦτο(ν[2]) A, μηδὲν τουτέῳ M 9 τὸ δὲ A, τὰ δὲ M μέζω, ὅσοι ἂν διὰ M, μείζονος οἱ γὰρ διὰ A 11 οἳ ἀπέχουσιν ἐς M 13 ἐστίης pro ἔστιν οἷσι, i. m. ἢ ἔστιν οἷς καὶ φλ. A 14 ὡς pro ὥσπερ τοῖς M 15 πρὶν ἢ add. M 16 θάτερα M 18 οὐχ οἷσιν ἂν M 19 οὐχὶ ὅπως auctore Hermanno Diels, οὐχὶ οὕτως A, οὐχ οὕτ. M, οἷσι οὐχ Vaticana exemp. (Littr.), οἷσιν οὐχ Zving. ἰσχυρὸς Cor. l. l. p. 150, ἰσχυρῶς codd. 20 καὶ ὅσον A, κ. οἷον M, καὶ delevi 22 τελευταῖον M ὅπερ M ἡ om. M 23 ἐχρόνισεν M

τε ὅταν ἱδρώσῃ τε καὶ ἀπαλλαγῇ ὁ πυρετός, πολὺ μᾶλλον διέψυξε ἢ εἰ μὴ ἔλαβε τὴν ἀρχήν. ᾧ οὖν διὰ τάχεος οὕτω παραγίνεται τὸ ἐναντιώτατόν τε καὶ ἀφαιρεόμενον τὴν δύναμιν ἀπὸ τωὐτομάτου, τί ἂν ἀπὸ τούτου μέγα ἢ δεινὸν γένοιτο; ἢ τί δεῖ πολλῆς ἐπὶ τοῦτο βοηθείης;

17. *Εἴποι ἄν τις· ἀλλ' οἱ πυρεταίνοντες ⟨ἐν⟩ τοῖσι καύσοισί τε καὶ περιπνευμονίῃσι καὶ ἄλλοισι ἰσχυροῖσι νοσήμασι οὐ ταχέως ἐκ τῆς θέρμης ἀπαλλάσσονται, οὐδὲ πάρεστιν ἐνταῦθα ἐπὶ τὸ θερμὸν τὸ ψυχρόν. ἐγὼ δέ μοι τοῦτο μέγιστον τεκμήριον ἡγεῦμαι εἶναι, ὅτι οὐ διὰ τὸ θερμὸν ἁπλῶς πυρεταίνουσιν οἱ ἄνθρωποι, οὐδὲ τοῦτο εἴη τὸ αἴτιον τῆς κακώσιος μοῦνον, ἀλλ' ἔστι καὶ πικρὸν καὶ θερμὸν τὸ αὐτό, καὶ ὀξὺ καὶ θερμόν, καὶ ἁλμυρὸν καὶ θερμόν, καὶ ἄλλα μυρία, καὶ πάλιν γε ψυχρὸν μετὰ δυναμίων ἑτέρων. τὰ μὲν οὖν λυμαινόμενα ταῦτ' ἐστί· συμπάρεστι δὲ καὶ τὸ θερμόν, ῥώμης μὲν ἔχον ὅσον τὸ ἡγεύμενον καὶ παροξυνόμενον καὶ αὐξόμενον ἅμα ἐκείνῳ, δύναμιν δὲ οὐδεμίαν πλείω τῆς προσηκούσης.*

18. *Δῆλα δὲ ταῦτα ὅτι ὧδε ἔχει ἐπὶ τῶνδε τῶν σημείων· πρῶτον μὲν ἔπι τὰ φανερώτερα, ὧν πάντες ἔμ-*
614 *πειροι πολλάκις ἐσμέν τε καὶ ἐσόμεθα. τοῦτο μὲν γάρ, ὅσοισι ἂν ἡμέων κόρυζα ἐγγένηται καὶ ῥεῦμα κινηθῇ*

1 *τε* post *ἱδρ.* om. M 2 *ἔψυξεν* M *ἢ* om. M 4 *ἀφαιρούμενον* A, *ἀφελούμενον* M 5 *ἠιδειν* (ὸν ss.) A *δὴ* A 6 *τούτο* (ω ss.) A, ω ss. A[3] 7 *ἐν* om. codd. et edit. 10 *ἐπὶ* om. M, *ἔτι* A post *θερμὸν* add. *ἢ* A, *ἐπὶ* M 11 *δὲ τοῦτό μοι* M 12 *ἁπλῶς* om. M 13 *μοῦνον* om. M 14 *θ. κ. ὀ.* M 15 *καὶ ἁλμ. κ. θ.* om. A 18 Rhd., *μετέχον, ὡς ἂν τὸ* codd. 19 *αὔξαν.* M *δ'* M 21 *δηλαδὴ ταῦτα ὧδ' ἔχει* M 22 *ἐπὶ τὰ* AM, *ἐστι* pro *ἔπι τὰ* vulg. *φανερώτατα* M 23 *ἤδη* post *πολλάκις* add. M *γινόμεθα* pro *ἐσόμ.* M *γὰρ* om. M

διὰ τῶν ῥινῶν, τοῦτο ὡς τὸ πολὺ δριμύτερον τοῦ πρότερον γινομένου τε καὶ ἰόντος ἐκ τῶν ῥινῶν καθ' ἑκάστην ἡμέρην καὶ οἰδεῖν μὲν ποιεῖ τὴν ῥῖνα καὶ συγκαίει θερμήν τε καὶ διάπυρον ἐσχάτως, ἢν δὴ τὴν χεῖρα προσφέρῃς· κἢν πλείω χρόνον παρῇ, καὶ ἐξελκοῦται τὸ χωρίον ἄσαρκόν τε καὶ σκληρὸν ἐόν. παύεται δέ πως τὸ καῦμα ἐκ τῆς ῥινός, οὐχ ὅταν τὸ ῥεῦμα γίνηται καὶ ἡ φλεγμονὴ ᾖ, ἀλλ' ἐπειδὰν παχύτερόν τε καὶ ἧσσον δριμὺ ῥέῃ, πέπον καὶ μεμιγμένον μᾶλλον τοῦ πρότερον γινομένου, τότε δὲ ἤδη καὶ τὸ καῦμα πέπαυται. ἀλλ' οἷσι [δὲ] ὑπὸ ψύχεος φανερῶς αὐτοῦ μούνου γίνεται μηδενὸς ἄλλου συμπαραγενομένου, πᾶσι δὲ ἡ αὐτὴ ἀπαλλαγή, ἐκ μὲν τῆς ψύξιος διαθερμανθῆναι, ἐκ δὲ τοῦ καύματος διαψυχθῆναι, καὶ ταῦτα ταχέως παραγίνεται καὶ πέψιος οὐδεμιῆς προσδεῖται. τὰ δ' 616 *ἄλλα πάντα, ὅσα διὰ χυμῶν δριμύτητας καὶ ἀκρησίας,* 16 *φημὶ ἔγωγε γίνεσθαι τὸν αὐτὸν τρόπον καὶ ἀποκαθίστασθαι πεφθέντα καὶ κρηθέντα.*

19. *Ὅσα τε αὖ ἐπὶ τοὺς ὀφθαλμοὺς τρέπεται τῶν ῥευμάτων, ἰσχυρὰς καὶ παντοίας δριμύτητας ἔχοντα, ἑλκοῖ μὲν βλέφαρα, κατεσθίει δ' ἐνίων γνάθους καὶ τὰ ὑπὸ τοῖσι ὀφθαλμοῖσι, ἐφ' ὅ τι ἂν ἐπιρρυῇ, ῥήγνυσι*

1 *τὸ* om. M 4 *συγκαίειν* M *ἐσχάτως. ἢν δὲ* codd., *δὴ* Cor. l. l. p. 154 5 *καὶ πλείω* codd. (*κἂν* Cor. l. l.) 7 *γε* ante *καῦμα* add. M 8 *γένηται* A, *γίνεται* M 9 *ῥέῃ* om. M, ante *πέπον* add. *καὶ* A 10 Cor. Rhd., *τὸ πρ. γινομένῳ* A, *τῷ πρ. γινομένῳ* M *τότ' ἤδη* M 11 *ἄλλοισι δὲ* codd., *ἀλλ' οἷσι δὲ* Littr. 12 *πᾶσιν αὕτη ἡ ἀ.* M 14 *ἐκ δὲ τοῦ κ. δ.* om. M 15 *τά τε* A 16 *διὰ* om. A 17 *γι* adscr. A[2] *καὶ* om. M *ἀποκαθίσταταί τε* M 18 *πεφθ. κ. κριθέντα* A, *κρηθ.* (*η* i. ras.) *κ. π.* M 19 *τ'* M 20 *ὡς ἰσχυρὰς* M 21 *δὲ* M *τε* post *γνάθ.* add. M 22 *ἐπὶ* A *ἂν* om. M, *ἢν* A, *ἂν* vulg.

δὲ καὶ διεσθίει τὸν ἀμφὶ τὴν ὄψιν χιτῶνα. ὀδύναι δὲ καὶ καῦμα καὶ φλογμὸς ἔσχατος κατέχει [μέχρι τινός], μέχρι ἂν τὰ ῥεύματα πεφθῇ καὶ γένηται παχύτερα καὶ λήμη ἀπ' αὐτῶν ᾖ. τὸ δὲ πεφθῆναι γίνεται ἐκ τοῦ μιχθῆναι καὶ κρηθῆναι ἀλλήλοισι καὶ συνεψηθῆναι. τοῦτο δέ, ὅσα ἐς τὴν φάρυγγα, ἀφ' ὧν βράγχοι γίνονται καὶ συνάγχαι, ἐρυσιπέλατά τε καὶ περιπνευμονίαι, πάντα ταῦτα τὸ μὲν πρῶτον ἁλμυρά τε καὶ ὑγρὰ καὶ δριμέα ἀφίει καὶ ἐν τοῖσι τοιούτοις ἔρρωται τὰ νοσήματα. ὅταν δὲ παχύτερα καὶ πεπαίτερα γένηται καὶ πάσης δριμύτητος ἀπηλλαγμένα, τότε ἤδη καὶ οἱ πυρετοὶ παύονται καὶ τἄλλα τὰ λυπέοντα τὸν ἄνθρωπον. δεῖ δὲ δήπου ταῦτα αἴτια ἑκάστου ἡγεῖσθαι εἶναι, ὧν παρεόντων μὲν τοιουτότροπον γίνεσθαι ἀνάγκη, μετα-
618 βαλλόντων δὲ ἐς ἄλλην κρῆ|σιν παύεσθαι. ὁπόσα οὖν ἀπ' αὐτῆς τῆς θέρμης εἰλικρινέος ἢ ψύξιος γίνεται καὶ μὴ μετέχει ἄλλης δυνάμιος μηδεμιῆς, οὕτω παύοιτο ἄν, ὅταν μεταβάλλῃ ἐκ τοῦ θερμοῦ ἐς τὸ ψυχρὸν καὶ ἐκ τοῦ ψυχροῦ ἐς τὸ θερμόν. μεταβάλλει δὲ ὅνπερ προείρηταί μοι τρόπον. ἴσθι τοίνυν τἄλλα ὅσα κακοπαθεῖ ὁ ἄνθρωπος ὡς πάντα ἀπὸ δυναμίων γίνεται.

1 τε pro δὲ M ἐσθίει (ε prius in ras.) A 2 φλεγμὸς A μέχρι τινὸς del. Rhd., Erm. 4 λῆμαι M[1], μὴ pro vulg. λήμη A ἀπαυτῶν A[1], ἄπεπτα A[2], mut. in ἄπεπτον A[3] εἴη M 5 utrumque καὶ om. M 6 δ' M 7 κυνάγχαι sine καὶ M τε καὶ om. M 11 τότ' M 12 λύονται pro παύονται M 13 εἶναι om. M 14 γενέσθαι A, τοιοῦτον τρόπον ἀν. γίν. M 15 δ' M ὁκόσατε οὖν ἀπ' A, ὁκόταν οὖν ἀπὸ M 16 γίνεται mut. in -ηται M 16. 17 καὶ μὴ τείχει M, η ss. M[2] 17 παύοιτ' M 18. 19 ἐκ τ. ψ. ἐ. τ. θ. κ. ἐ. τ. θ. ἐ. τ. ψ. M 19 μεταβάλλη A δ' ὃν μοι πρ. τρ. M 20 ἴσθι Rhd. ἐπὶ aut ἐστὶ, τ in ras. A, ἔτι M cet. 21 ὤνθρ. M ὡς om. M

τοῦτο μὲν γάρ, ὅταν πικρότης τις ἀποχυθῇ, ἣν δὴ χολὴν ξανθὴν καλέομεν, οἷαι ἄσαι καὶ καύματα καὶ ἀδυναμίαι κατέχουσιν· ἀπαλλασσόμενοι δὲ τούτου, ἐνίοτε καὶ καθαιρόμενοι, ἢ αὐτόματοι ἢ ὑπὸ φαρμάκου, ἢν ἐν καιρῷ τι αὐτῶν γίνηται, φανερῶς καὶ τῶν πόνων καὶ τῆς θέρμης ἀπαλλάσσονται. ὅσον δ' ἂν χρόνον ταῦτα μετέωρα ᾖ καὶ ἄπεπτα καὶ ἄκρητα, μηχανὴ οὐδεμία οὔτε τῶν πόνων παύεσθαι οὔτε τῶν πυρετῶν. καὶ ὅσοισι δὲ ὀξύτητες προσίστανται δριμεῖαί τε καὶ ἰώδεες, οἷαι λύσσαι καὶ δήξιες σπλάγχνων καὶ θώρηκος καὶ ἀπορίη· οὐ παύεταί τι τούτων πρότερον, πρὶν ἢ ἀποκαθαρθῇ τε καὶ καταστορεσθῇ καὶ μιχθῇ τοῖσιν ἄλλοισιν· πέσσεσθαι δὲ καὶ μεταβάλλειν καὶ λεπτύνεσθαί τε καὶ παχύνεσθαι ἐς χυμῶν εἶδος δι' ἄλλων εἰδέων καὶ παντοίων — διὸ καὶ κρίσιες καὶ ἀριθμοὶ τῶν χρόνων ἐν τοῖσι τοιούτοισι μέγα δύνανται — πάντων δὴ τούτων ἥκιστα προσήκει θερμῷ ἢ ψυχρῷ πάσχειν· οὔτε γὰρ ἂν τοῦτό γε σαπείη οὔτε παχυνθείη. τί γὰρ αὐτὸ φήσομεν εἶναι κρήσιας αὐτῶν ἄλλην πρὸς ἄλληλα ἐχούσας δύναμιν; ἐπεί | γε ἄλλῳ οὐδενὶ τὸ θερ- 620
μὸν μιχθὲν παύσεται τῆς θέρμης ἢ τῷ ψυχρῷ οὐδέ 21
γε τὸ ψυχρὸν ἢ τῷ θερμῷ. τὰ δὲ ἄλλα πάντα τὰ περὶ τὸν ἄνθρωπον, ὅσῳ ἂν πλείοσι μίσγηται, τοσούτῳ ἠπι-

1 γὰρ om. M 2 καλέομ(εν in ras.) αἳ ἄσ. A καῦμα M 3 τε pro δὲ M 5 ἢ pro ἢν A 7 εἴη M 8 παύσασθαι M 9 ὅσοισι δὲ A, οἷσι μὲν M 11 τι Erm. ex Vossiano, τε M, om. A τουτέων L, singularem caet. codd. 14 διὰ πολλῶν εἰδ. M 15 αἱ (κρίσ.) et οἱ (ἀριθ.) add. M 17 post ἥκιστα add. τι Cor. l. l. p. 160 18 σαπῇ . . . παχυνθῇ M 19 φήσωμεν A, τί δ' ἂν αὐτὸ φαίημεν M κρῆσίς τε αὐτέων ἐστι, πλὴν πρὸς M 20 ἔχουσα M ἄλλῳ γε M, γε ἄλλο A 22 πάλιν, quod post γε vulg. add., om. AM δ' M τὰ post πάντα om. M 23 ὅσα M ἣν A

ώτερα καὶ βελτίω. πάντων δὲ ἄριστα διάκειται ὁ ἄνθρωπος, ὅταν ⟨πᾶν⟩ πέσσηται καὶ ἐν ἡσυχίῃ ᾖ, μηδεμίαν δύναμιν ἰδίην ἀποδεικνύμενον, περὶ οὗ ἡγεῦμαι ἐπιδεδεῖχθαι.

20. *Λέγουσι δέ τινες ἰητροὶ καὶ σοφισταί, ὡς οὐκ εἴη δυνατὸς ἰητρικὴν εἰδέναι ὅστις μὴ οἶδεν, ὅ τί ἐστιν ἄνθρωπος καὶ ὅπως ἐγένετο πρῶτον καὶ ὁπόθεν συνεπάγη ἐξ ἀρχῆς· ἀλλὰ τοῦτο δεῖ καταμαθεῖν τὸν μέλλοντα ὀρθῶς θεραπεύσειν τοὺς ἀνθρώπους. τείνει δὲ αὐτοῖς ὁ λόγος ἐς φιλοσοφίην, καθάπερ Ἐμπεδοκλῆς ἢ ἄλλοι οἳ περὶ φύσιος γεγράφασιν. ἐγὼ δὲ τοῦτο μέν, ὅσα τινὶ εἴρηται ἢ σοφιστῇ ἢ ἰητρῷ ἢ γέγραπται περὶ φύσιος, ἧσσον νομίζω τῇ ἰητρικῇ τέχνῃ προσήκειν ἢ τῇ γραφικῇ.* 622 *νομίζω δὲ περὶ φύσιος | γνῶναί τι σαφὲς οὐδαμόθεν ἄλλοθεν εἶναι ἢ ἐξ ἰητρικῆς· τοῦτο δὲ οἷόν τε καταμαθεῖν, ὅταν αὐτήν τις [τὴν ἰητρικὴν] ὀρθῶς περιλάβῃ· μέχρι δὲ τούτου πολλοῦ μοι δοκεῖ δεῖν· λέγω δὲ ταύτην τὴν ἱστορίην, εἰδέναι ἄνθρωπος τί ἐστιν καὶ δι' οἵας αἰτίας γίνεται καὶ τἄλλα ἀκριβέως. ἐπεὶ τοῦτό γέ μοι δοκεῖ ἀναγκαῖον εἶναι ἰητρῷ περὶ φύσιος εἰδέναι καὶ πάνυ σπουδάσαι ὡς εἴσεται, εἴπερ τι μέλλει τῶν δεόντων ποιήσειν, ὅ τί τέ ἐστιν ἄνθρωπος πρὸς τὰ ἐσθιόμενά τε καὶ πινόμενα*

1 *ὤνθρ.* M 2 *πᾶν* addidi, om. codd. et ed. *πέσσηται* (ε supra) M, *παύει τε* A, mut. in *πέσσει τε* A² 3 *περὶ μὲν οὖν τουτέων ἱκανῶς μοι ἡγ. ἐπ.* M 5 *καὶ* ante *ἰητ.* add. M 6 *εἴη* A, *ἔη* M *δυνατὸν* codd. 7 *ὅθεν* M 8 *ἀλλὰ — γεγράφ. ἐξ ἀρχ. ὅτι ἐστιν ἄνθρ.* post prius *ὅτι ἐ. ἄνθρ.* add. AM, om. codd. cet., transpos. Rhd. 9 *θεραπεύειν* M *ἢ τίνι* i. m. A⁴ *τε* pro *δὲ* M 10 *Ἐμπεδοκλέης* M 11 *τοῦτο* mut. M² in *τούτων* 12 *ἢ* ante *σοφ.* om. M 15 *ται* post *οἷόν* mut. in *τε* A⁴ 16 *τὴν ἰητρικὴν* uncis inclusi auctore Ilbergio post *ὀρθ.* add. *πᾶσαν* M 17 *πολλούς μοι δοκέει ἰδεῖν* M *τὴν ἱστ. ταύτ.* M 18 *εἶναι* pro *εἰδ.* A 19 *ἐπὶ τοῦτο* (mut. in *τούτῳ* A⁴) A 20 *παντὶ* ante *ἰητ.* add. vulg., om. AM *ἰητρῷ* om. A 21 *ὥσπερ* A *ποίησιν* A *ὅ τί ἐστ.* M 22 *ἐσθ. καὶ πιν.* M

καὶ ὅ τι πρὸς τὰ ἄλλα ἐπιτηδεύματα, καὶ ὅ τι ἀφ' ἑκάστου ἑκάστῳ συμβήσεται, καὶ μὴ ἁπλῶς οὕτως· πονηρόν ἐστιν βρῶμα τυρός· πόνον γὰρ παρέχει τῷ πληρωθέντι αὐτοῦ, ἀλλὰ τίνα τε πόνον καὶ διὰ τί καὶ τίνι τῶν ἐν τῷ ἀνθρώπῳ ἐνεόντων ἀνεπιτήδειον. ἔστι γὰρ καὶ ἄλλα πολλὰ βρώματα καὶ πόματα πονηρά, ἃ διατίθησι τὸν ἄνθρωπον οὐ τὸν αὐτὸν τρόπον. οὕτως οὖν μοι ἔστω οἷον· οἶνος ἄκρητος πολλὸς ποθεὶς διατίθησί πως τὸν ἄνθρωπον· καὶ πάντες ἂν οἱ εἰδότες τοῦτο γνοίησαν, ὅτι αὕτη δύναμις οἴνου καὶ αὐτὸς αἴτιος· καὶ οἷσί γε τῶν ἐν τῷ ἀνθρώπῳ τοῦτο δύναται μάλιστα, οἴδαμεν. τοιαύτην δὲ βούλομαι ἀληθείην καὶ περὶ τῶν | ἄλλων φανῆναι. τυρὸς γάρ, ἐπειδὴ τούτῳ 624 *σημείῳ ἐχρησάμην, οὐ πάντας ἀνθρώπους ὁμοίως λυμαίνεται, ἀλλ' εἰσὶν οἵτινες αὐτοῦ πληρεύμενοι οὐδ' ὁτιοῦν βλάπτονται, ἀλλὰ καὶ ἰσχύν, οἷσιν ἂν συμφέρῃ, θαυμασίως παρέχεται. εἰσὶ δ' οἳ χαλεπῶς ἀπαλλάσσουσι. διαφέρουσιν οὖν τούτων αἱ φύσιες. διαφέρουσιν δὲ κατὰ τοῦτο, ὅπερ ἐν τῷ σώματι ἔνεστι πολέμιον τυρῷ καὶ ὑπὸ τούτου ἐγείρεταί τε καὶ κινεῖται· οἷς ὁ τοιοῦτος χυμὸς τυγχάνει πλείων ἐνεὼν καὶ μᾶλλον ἐνδυναστεύων ἐν τῷ σώματι, τούτους μᾶλλον κακοπαθεῖν εἰκός. εἰ δὲ πάσῃ τῇ ἀνθρωπίνῃ φύσει ἦν κακόν, πάντας ἂν ἐλυμήνατο. ταῦτα δὲ εἴ τις εἰδείη, οὐκ ἂν πάσχοι.*

1 *κ. ὅ τι πρ. τ. ἄ. ἐ.* om. M *καὶ* post *ἐπιτηδ.* om. A 2 *δὴ* pro *μὴ* A 3 *πονηρὸν* pro *πόνον* A *ἔχει* M 4 *τρόπον* pro *πόνον* A 5 *ἀνθρώπων* pro *ἐν τῷ ἀνθ.* M 6 *καὶ* pro *ἃ* M 9 *ἅπαντες ἂν ἰδόντες* M 10 *αὕτη ἡ δ.* M *ἐστιν* post *αὐτὸς* add. M 12 *δύναταί γε μ.* M *δὴ* pro *δὲ* M 16 *ἰσχὺν οἷσιν* A, *ἰσχνοῖσιν* M *ἣν συμφέρει* A, *ἂν ξυμφερεῖ*[η] M 18 *διαφέρουσι δὲ τουτέων* M *τούτῳ* A, mut. A^2 in *τουτέων* 20 *καὶ* ante *ὑπὸ* om. M 21 *πλέον* M *ἐὼν* A 24 *ἐλυμαίνετο* M *δ'* M *εἰδήει* A

21. *Τὰ δ', ἐν τῇσιν ἀνακομιδῇσι τῇσιν ἐκ τῶν νούσων, ἔτι δὲ καὶ ἐν τῇσι νούσοισι τῇσι μακρῇσι γίνονται πολλαὶ συνταράξιες, αἱ μὲν ἀπὸ τωὐτομάτου, αἱ δὲ καὶ ἀπὸ τῶν προσενεχθέντων τῶν τυχόντων. οἶδα δὲ τοὺς πολλοὺς ἰητρούς, ὥσπερ τοὺς ἰδιώτας, ἢν τύχωσι περὶ τὴν ἡμέρην ταύτην τι κεκαινουργηκότες, ἢ λουσάμενοι ἢ περιπατήσαντες ἢ φαγόντες τι ἑτεροῖον, ταῦτα δὲ πάντα βελτίω προσενηνεγμένα ἢ μή, οὐδὲν ἧσσον τὴν αἰτίην τούτων τινὶ ἀνατιθέντας καὶ τὸ μὲν αἴτιον ἀγνοεῦντας, τὸ δὲ συμφορώτατον, ἢν οὕτω τύχῃ, ἀφαιρέοντας. δεῖ δὲ οὔ, ἀλλ' εἰδέναι,*
626 *τί λουτρὸν ἀκαίρως | προσγενόμενον ἐργάσεται ἢ τί κόπος. οὐδέποτε γὰρ ἡ αὐτὴ κακοπάθεια τούτων οὐδετέρου, οὐδέ γε ἀπὸ πληρώσιος οὐδ' ἀπὸ βρώματος τοίου ἢ τοίου. ὅστις οὖν ταῦτα μὴ εἴσεται ὡς ἕκαστα ἔχει πρὸς τὸν ἄνθρωπον, οὔτε γινώσκειν τὰ γινόμενα ἀπ' αὐτῶν δυνήσεται οὔτε χρῆσθαι ὀρθῶς.*

22. *Δεῖν δέ μοι δοκεῖ καὶ ταῦτα εἰδέναι, ὅσα τῷ ἀνθρώπῳ παθήματα ἀπὸ δυναμίων γίνεται καὶ ὅσα ἀπὸ σχημάτων. λέγω δέ τι τοιοῦτον, δύναμιν μὲν εἶναι τῶν χυμῶν τὰς ἀκρότητάς τε καὶ ἰσχύν, σχήματα δὲ λέγω ὅσα ἔνεστιν ἐν τῷ ἀνθρώπῳ. τὰ μὲν γὰρ κοῖλά τε καὶ ἐξ εὐρέος ἐς στενὸν συνηγμένα, τὰ δὲ καὶ ἐκπεπταμένα, τὰ δὲ στερεά τε καὶ στρογγύλα, τὰ δὲ πλατέα τε καὶ ἐπικρεμάμενα, τὰ δὲ διατεταμένα,*

3 *συμπαρατάξιες* M *καὶ* ante *ἀπὸ* add. A 5 *τ. ἰητ. τοὺς π., ὡς τ. ἰδ.* M 6 *κεκαινουργηκότες, ας* ss. A[4] 7 *ὡς λουσ.* pro *ἢ λ.* M 8 *πάντα δὲ ταῦτα* M 9 *οὐδενὸς* M 10 *καὶ* om. M 11 *τύχωσιν, ἀφανίσαντας* M 14 *οὐδέ γε ἀπὸ βρώμ.* M 18 *ταῦτ'* M 20 *δὲ τί* A, *δὴ τί τοῦτο* M 21 post *χυμ.* add. *εἰδέναι* M 23 *γὰρ* om. A *τε* om. A *στενὰ* A, *στενόν ἐστι* M *συνενηγμ.* A 24 *τ. δ. κ. ἐκπεπτ. — στερ. τ. κ.* om. A *τε* post *στρογγ.* add. A 25 *τε* post *πλατ.* om. M

τὰ δὲ μακρά, τὰ δὲ πυκνά, τὰ δὲ μανά τε καὶ τεθηλότα, τὰ δὲ σπογγοειδέα τε καὶ ἀραιά. τοῦτο μὲν οὖν, ἑλκύσαι ἐφ᾽ ἑωυτὸ καὶ ἐπισπάσασθαι ὑγρότητα ἐκ τοῦ ἄλλου σώματος, πότερον τὰ κοῖλά τε καὶ ἐκπεπταμένα ἢ τὰ στερεά τε καὶ στρογγύλα ἢ τὰ κοῖλά τε καὶ ἐς στενὸν ἐξ εὐρέος συνηγμένα δύναιτο ἂν μάλιστα; οἶμαι μὲν τὰ τοιαῦτα, τὰ ἐς στενὸν συνηγμένα ἐκ κοίλου τε καὶ εὐρέος. καταμανθάνειν δὲ δεῖ ταῦτα ἔξωθεν ἐκ τῶν φανερῶν. τοῦτο μὲν γάρ, τῷ στόματι κεχηνὼς ὑγρὸν οὐδὲν ἀνασπάσεις· προμυλλήνας δὲ καὶ συστείλας πιέσας τε τὰ χείλεα καὶ ἔπειτεν αὐλὸν προσθέμενος ῥηϊδίως ἀνασπάσαις ἂν ὅ τι ἐθέλοις. τοῦτο δέ, αἱ σικύαι προσβαλλόμεναι ἐξ | εὐρέος ἐς στενώτερον συν- 628
ηγμέναι πρὸς τοῦτο τετέχνηνται, πρὸς τὸ ἕλκειν ἐκ τῆς σαρκὸς καὶ ἐπισπᾶσθαι, ἄλλα τε πολλὰ τοιουτότροπα. τῶν δὲ ἔσω φύσει τοῦ ἀνθρώπου σχῆμα τοιοῦτον κύστις τε καὶ κεφαλὴ καὶ ὑστέρη γυναιξίν· καὶ φανερῶς ταῦτα μάλιστα ἕλκει καὶ πλήρεά ἐστιν ἐπάκτου ὑγρότητος αἰεί. τὰ δὲ κοῖλα καὶ ἐκπεπταμένα ἐπεσρυεῖσαν μὲν ὑγρότητα μάλιστ᾽ ἂν δέξαιτο πάντων, ἐπισπάσαιτο δ᾽ ἂν οὐχ ὁμοίως. τὰ δέ γε στερεὰ καὶ στρογγύλα οὔτ᾽ ἂν ἐπισπάσαιτο οὔτ᾽ ἂν ἐπεσρυεῖσαν

1 τ. δ. μανά om. M 2 τοῦτο mut. in τοῦ M 3 ἑαυτοῦ A ἐπισπᾶσθαι M 6 συνημένα A δύναιτ᾽ M 7 alterum τὰ om. M συνημένα A 8 ἐξ ante εὐρ. add. A αὐτὰ M 10 ἀνασπάσαις προσμυλλ. A 11 πιέσας δὲ ἀνασπάσειε τ. χ. A καὶ ἐπί τε A, καὶ ἔτι τε M (v. Herm. XXII p. 193) 13 ἐξ εὐρ. — συνηγμ. om. A συνηγμέναι M, ἐστενωμέναι cet. 14 τεχνήατ$\overset{αι}{ε}$ M, τετεχνημέναι A 15 ἐπισπάσασθαι A 16 δ᾽ ἔ. τ. ἀ. φύσις καὶ σχ. τοιοῦτον M τοιοῦτον mut. in -ων A^3 17 ὑστέραι M 18 ἐπακτοῦ M 19 ἐπεκτεταμένα ἐπεισρυῆσαν A 20 μὲν ἂν M μάλιστ᾽ ἂν δ. Rhd., μάλιστα δ. codd. δέξαιντο A 22 ἐσπάσατο M ἐπεισρυῆσαν mut. ead. m. in -εῖσαν A, ἐπιρρυεῖσαν utroque loco M

δέξαιτο· περιολισθάνοι τε γὰρ καὶ οὐκ ἔχοι ἕδρην, ἐφ' ἧς μένοι. τὰ δὲ σπογγοειδέα τε καὶ ἀραιά, οἷον σπλήν τε καὶ πνεύμων καὶ μαζοί, προσκαθεζόμενα μάλιστα ἀναπίνοι καὶ σκληρυνθείη ἂν καὶ αὐξηθείη ὑγρότητος
630 προσγενομένης ταῦτα μάλιστα. οὐ γὰρ ἂν | ὥσπερ ἐν κοιλίῃ, ἐν ᾗ τὸ ὑγρόν, ἔξω τε περιέχει αὐτὴ ἡ κοιλίη, [καὶ] ἐξαλίζοιτ' ἂν καθ' ἑκάστην ἡμέρην, ἀλλ' ὅταν πίῃ καὶ δέξηται αὐτὸ ἐς ἑωυτὸ τὸ ὑγρόν, τὰ κενὰ καὶ ἀραιὰ ἐπληρώθη καὶ τὰ σμικρὰ πάντῃ καὶ ἀντὶ μαλθακοῦ τε καὶ ἀραιοῦ σκληρός τε καὶ πυκνὸς ἐγένετο καὶ οὔτ' ἐκπέσσει οὔτ' ἀφίησι. ταῦτα δὲ πάσχει διὰ τὴν φύσιν τοῦ σχήματος. ὅσα δὲ φῦσάν τε καὶ ἀνειλήματα ἀπεργάζεται ἐν τῷ σώματι, προσήκει ἐν μὲν τοῖσι κοίλοισι καὶ εὐρυχώροισι, οἷον κοιλίῃ τε καὶ θώρηκι, ψόφον
632 τε καὶ | πάταγον ἐμποιεῖν. ὅτε γὰρ ἂν μὴ ἀποπληρώσῃ οὕτως ὥστε στῆναι, ἀλλ' ἔχῃ μεταβολάς τε καὶ κινήσιας, ἀνάγκη ὑπ' αὐτῶν ψόφον καὶ καταφανέας κινήσιας γίνεσθαι. ὅσα δὲ σαρκώδεά τε καὶ μαλθακά, ἐν τοῖσι τοιούτοισι νάρκη τε καὶ πληρώματα οἷα ἐν τοῖσι ἀποφραγεῖσι γίνεται. ὅταν δ' ἐγκυρήσῃ πλατεῖ τι⟨νι⟩

1 ἐδέξατο M post γὰρ add. ἂν M 2 μένει M στεραιὰ A 3 τε om. M 4 ἀναπίοι M σκληρυνθῇ sine ἂν M 5 οὐδὲ γὰρ A ἣν post ὥσπ. add. M 6 ἐνῇ pro ἐν ᾗ AM περιέχῃ αὔτη A 7 καὶ ἐξαγγίζοιτο ἂν A, ἐν ᾗ τὸ ὑγρὸν καὶ ἐξαγγίζοιτ' ἂν M, ἐξαλ. Littr. ex Gal. gloss. εἴῃ A, mut. in πίῃ A^2, ἴῃ M 8 αὐτὸς ἑωυτὸν M 9 ἐπληρ. om. M 9. 10 ἀρ. τ. κ. μαλθ. M 11 ἀμφίησιν M 12 ὅσαι A ἀνηλήμματα A ἀπεργάζονται A, ἐνεργάζονται M 13 κοίλεσι A, οι ss. A^4 τε post κοίλ. add. M 14 εὐρυχώρεσι A, οι ss. A^1 15 ὅτε an ὅτι incert. A, ὅτι M ἂν ἣν μὴ A ἀποπληρώσει A, mut. in -ρώθει A^2 (ει mut. in η A^3) 17 καὶ ψόφ. M 18 ὅσαι A

19 νάρκας M ἃ M τῆσι A, ν ss. A^3 20 ἀποφραγεῖσι Cor. l. l. p. 173, ἀποσφαγίσι A, sed α alterum restituit A^2, ι

ἀντικειμένῳ καὶ πρὸς αὐτὸ ἀντιπέσῃ, καὶ φύσει τοῦτο τύχῃ ἐὸν μήτε ἰσχυρόν, ὥστε δύνασθαι ἀνέχεσθαι τὴν βίην καὶ μηδὲν κακὸν παθεῖν, μήτε μαλθακόν τε καὶ ἀραιόν, ὥστ' ἐκδέξασθαί τε καὶ ὑπεῖξαι, ἁπαλὸν δὲ καὶ τεθηλὸς καὶ ἔναιμον καὶ πυκνόν, οἷον ἧπαρ, διὰ μὲν τὴν πυκνότητα καὶ πλατύτητα ἀνθέστηκέ τε καὶ οὐχ ὑπείκει, φῦσα δ' ἐπισχομένη αὔξεταί τε καὶ ἰσχυροτέρη γίνεται καὶ ὁρμᾷ μάλιστα πρὸς τὸ ἀντιπαῖον. διὰ δὲ τὴν ἁπαλότητα καὶ τὴν ἐναιμότητα οὐ δύναται ἄνευ πόνων εἶναι, καὶ διὰ ταύτας τὰς προφάσιας ὀδύναι τε ὀξύταται καὶ πυκνόταται πρὸς τοῦτο τὸ χωρίον γίνονται ἐμπυήματά τε καὶ φύματα | πλεῖστα. γίνεται δὲ 634 *καὶ ὑπὸ φρένας ἰσχυρῶς, ἧσσον δὲ πολλόν. διάτασις μὲν γὰρ φρενῶν πλατείη καὶ ἀντικειμένη, φύσις δὲ νευρωδεστέρη τε καὶ ἰσχυροτέρη, διὸ ἧσσον ἐπώδυνά ἐστιν. γίνεται δὲ καὶ περὶ ταῦτα καὶ πόνοι καὶ φύματα.*

23. *Πολλὰ δὲ καὶ ἄλλα καὶ ἔσω καὶ ἔξω τοῦ σώματος εἴδεα σχημάτων, ἃ μεγάλα ἀλλήλων διαφέρει πρὸς τὰ παθήματα καὶ νοσέοντι καὶ ὑγιαίνοντι, οἷον κεφαλαὶ σμικραὶ ἢ μεγάλαι, τράχηλοι λεπτοὶ ἢ παχέες, μακροὶ ἢ βραχέες, κοιλίαι μακραὶ ἢ στρογγύλαι, θώρηκος καὶ πλευρέων πλατύτητες ἢ στενότητες, ἄλλα μυρία, ἃ δεῖ*

alterum A[4], *ἀποσφαγεῖσι* M *ἐ(γ* inser. A[2]*)κυρήσῃ* A, *ἐγκύρσῃ* M *τε καὶ* pro *τινὶ* M, *τι* (mut. in *τε* A[4]) *καὶ* A 1 *τι* ante *πρὸς* add. M *ἑαυτὸ* A 2 *τύχῃ μ. ἰ. ἐὸν* M 4 *ὑποδεῖξαι* M *τε* pro *δὲ* M 5 *τεθηλὸν* M 7 Rhd., *δ' ἐπιχεομένη* A, *δὲ ἐπιδεχομένη* M 8 *ὁρμαὶ* M *ἀντιπέον* A 9 *καὶ* semirasum ante *οὐ* add. M 12 *ἐκποιήμ.* M, *ἐμποιήμ.* A, mut. in *ἐμπυήμ.* A[4] 13 *διάτ.* mut. in *διάστασις* A[2] 15 *νεύρων στερεὴ* M *ἐπικήνδυνα* i. m. A[2] 16 *καὶ* ante *περὶ* om. A 19 *ἃ* om. M *μεγάλα* mut. in *μέγα* A[2] 22 *θώρηκες* A *καὶ* vulg., om. AM 23 *ἢ* om. A *ἄλλα* AM, *καὶ ἄλλα* vulg. *μυρί* A, *α* ss. A[2]

πάντα εἰδέναι ᾗ διαφέρει, ὅπως τὰ αἴτια ἑκάστων εἰδὼς ὀρθῶς φυλάσσηται· (24.) περὶ δὲ δυναμίων χυμῶν αὐτῶν τε ἕκαστος ὅ τι δύναται ποιεῖν τὸν ἄνθρωπον ἐσκέφθαι, ὥσπερ καὶ πρότερον εἴρηται, καὶ τὴν συγγένειαν ὡς ἔχουσι πρὸς ἀλλήλους. λέγω δὲ τὸ τοιοῦτον· εἰ γλυκὺς χυμὸς ἐὼν μεταβάλλοι ἐς ἄλλο εἶδος, μὴ ἀπὸ συγκρήσιος, ἀλλὰ αὐτὸς ἐξιστάμενος, ποῖός τις ἂν πρῶτος γένοιτο, πικρὸς ἢ ἁλμυρὸς ἢ στρυφνὸς ἢ ὀξύς; οἶμαι μέν, ὀξύς. ὁ ἄρα ὀξὺς χυμὸς ἂν
636 ἐπι|τήδειος προσφέρειν τῶν λοιπῶν εἴη μάλιστα, εἴπερ ὁ γλυκύς γε πάντων ἐπιτηδειότατος. οὕτως εἴ τις δύναιτο ζητέων ἔξωθεν ἐπιτυγχάνειν, καὶ δύναιτο ἂν πάντων ἐκλέγεσθαι αἰεὶ τὸ βέλτιστον. βέλτιστον δέ ἐστι αἰεὶ τὸ προσωτάτω τοῦ ἀνεπιτηδείου ἀπέχον.

1 πάντα ταῦτα A 2 φυλάσσηται AM, τηροίης cet. codd. χυλῶν A 4 ὥσπερ om. A εἴρεατε (αι supra) τὰς ξυγγενείας ... ἀλλήλας M 6 ἐὼν om. M, ἐὼν μεταβαλλὼν εἰς A 7 ξυγκρίσ., ἀλλ' M 8 ἂν om. M, πρῶτος A² in ras. 9 ἀνεπιτήδ. A, ἂν ἐπιτήδ. M 10 πρὸς φορῶν (mut. A² in προσφόρων) ἂν A, προσφέρων ἂν M· μάλ. εἴη M 11 τῶν pro γε A ἀνεπιτηδειότ. M 12 καὶ om. M δύναιτ' M 13 αἰεὶ τὸ βέλτιστον δέ ἐστι τὸ πρ. M 14 ἐστιν εἰ (unde dedi αἰεὶ) τὸ A

DE AERE AQUIS LOCIS LIBER.

In libro qui est de aere aquis locis recensendo praeter V(aticanum 276 saec. XII cf. supra in prolegomenis), excussum ab Ilbergio, usus sum codice Barberino I, 5 (𝔅) chartaceo, saeculi XV, in 8°, quem ab Ioanne Droysen Berolinensi admonitus ipse contuli Romae in bibliotheca Barberina.

Insunt: *Οἱ τοῦ Ἱπποκράτους ἀφορισμοὶ ἐκ τοῦ Γαλήνου ὑπομνημάτων ἐκ τοῦ πρώτου ὁ βίος βραχύς — θανάσιμον τὸν τοιοῦτον* (fol. 1). — *Διοκλῆς Ἀντιγόνῳ βασιλεῖ· ἐπειδή σοι συμβαίνει — χειμερινὰς ἡμέρας τεσσαράκοντα πέντε* (fol. 84r). — *Γαλήνου τέχνη ἰατρική· τρεῖς εἰσιν αἱ πᾶσαι* (fol. 94r) — *εἴρηται μὲν οὖν καὶ πρόσθεν ὡς ἔστιν ἓν ἄλλο βιβλίον — ἕξοντα. Γαλήνου περὶ τῶν ἰδίων βιβλίων* (— fol. 224v). — Fol. 88v—93r et 225r—236r vacua a scriba relicta sunt. Sequitur fol. 237r *Ἱπποκράτους περὶ ἀέρων ὑδάτων τόπων.* Post hunc librum etiam plura insunt in codice, quae enumerare huius loci non est. Qui codex, quamvis sit aetate recentior, quanti sit quantumque mihi profuerit, et haec editio ipsa docet et in Hermae vol. XVIII p. 19 pluribus exposui. Accedit tertium recensionis adiumentum: varia lectio (b) codicis illius, quo Gadaldinus Venetianus olim

usus est. Quae margini Aldinae SQE VIII 14 eademque ad verbum paene congruenter Basileensis SQT VIII 9 ascripta asservatur Mediolani in bibliotheca Ambrosiana, ubi ex exemplari Basileensi eam exscripsi et cum Aldino contuli. Compensatur igitur, quod eius fieri potest, codicis ipsius iactura hac varia lectione cum Barberino compluribus locis mire conspirante, quem propterea quoque, quod ei cum illa non pauca communia sunt, littera 𝔅 signavi.

Tertium commemoro codicis Gadaldinei testem Baccium Baldum, qui commentario suo interpretationique latinae libri de aere aquis locis a. 1586 Florentiae editae variam addidit lectionem magnam partem cum Gadaldinea consonantem (cf. Littr. tom. II, p. 10).

--- ---

ΠΕΡΙ ΑΕΡΩΝ ΥΔΑΤΩΝ ΤΟΠΩΝ.

Ἰητρικὴν ὅστις βούλεται ὀρθῶς ζητεῖν, τάδε χρὴ ποιεῖν· πρῶτον μὲν ἐνθυμεῖσθαι τὰς ὥρας τοῦ ἔτεος, ὅ τι δύναται ἀπεργάζεσθαι ἑκάστη· οὐ γὰρ ἐοίκασιν ἀλλήλοισιν οὐδέν, ἀλλὰ πολὺ διαφέρουσιν αὐταί τε ἐφ' ἑωυτέων καὶ ἐν τῇσι μεταβολῇσιν· ἔπειτα δὲ τὰ πνεύματα τὰ θερμά τε καὶ τὰ ψυχρά, μάλιστα μὲν τὰ κοινὰ πᾶσιν ἀνθρώποισιν, ἔπειτα δὲ καὶ τὰ ἐν ἑκάστῃ χώρῃ ἐπιχώρια ἐόντα. δεῖ δὲ καὶ τῶν ὑδάτων ἐνθυμεῖσθαι τὰς δυνάμιας· ὥσπερ γὰρ ἐν τῷ στόματι διαφέρουσι καὶ ἐν τῷ σταθμῷ, οὕτω καὶ ἡ δύναμις διαφέρει πολὺ ἑκάστου. ὥστε ἐς πόλιν ἐπειδὰν ἀφίκηταί τις, ἧς ἄπειρός ἐστι, διαφροντίσαι χρὴ τὴν θέσιν αὐτῆς, ὅκως κεῖται καὶ πρὸς τὰ πνεύματα καὶ πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου. οὐ γὰρ τωὐτὸ δύναται ἥτις πρὸς βορέην κεῖται καὶ ἥτις πρὸς νότον οὐδ' ἥτις πρὸς ἥλιον ἀνίσχοντα οὐδ' ἥτις πρὸς δύνοντα. ταῦτα δὲ χρὴ ἐνθυμεῖσθαι ὡς κάλλιστα καὶ τῶν ὑδάτων πέρι ὡς ἔχουσι, [καὶ] πότερον ἑλώδεσι χρέονται καὶ μαλθακοῖσιν ἢ σκληροῖσί τε καὶ ἐκ μετεώρων καὶ πετρωδέων II 12 L.

1 π. ἀ. τόπων, ὑδάτων, καιρῶν, ἀνέμων, ἀστέρων b 2 ζητ. ὀρθ. b 4 ἀπεργάζειν b 5 οὐθὲν libri ἀλλήλοισιν b, deest in libris αὗται libri 6 ἐφ' b, deest in libris 8 τὰ om. libri, add. b et Cor. 9 ἐπιχώρι' V 10 πῶς γὰρ b 18 χρὴ om. libri, add. b μάλιστα pro κάλλ. b 19 καὶ om. interpretatio latina codicis Par. 7027 (fol. 13v—32v) saec. X, cf. Ilberg in commentationibus philologis Herm. Lipsio dedicatis (Lips. 1894) p. 24 πρότερον ἑλώδ. V 20 καὶ πετρ. b, καὶ ἐκ π. V 𝔅 vulg.

εἴτε ἁλυκοῖσι καὶ ἀτεράμνοισιν· καὶ τὴν γῆν, πότερον ψιλή τε καὶ ἄνυδρος ἢ δασεῖα καὶ ἔφυδρος καὶ εἴτε ἔγκοιλός ἐστι καὶ πνιγηρὴ εἴτε μετέωρος καὶ ψυχρή· καὶ τὴν δίαιταν τῶν ἀνθρώπων, ὁκοίῃ ἥδονται, πότερον φιλοπόται καὶ ἀριστηταὶ καὶ ἀταλαίπωροι ἢ φιλογυμνασταί τε καὶ φιλόπονοι καὶ ἐδωδοὶ καὶ ἄποτοι·

14 (2.) *καὶ ἀπὸ τούτων χρὴ ἐνθυμεῖσθαι ἕκαστα. εἰ γὰρ ταῦτα εἰδείη τις καλῶς, μάλιστα μὲν πάντα, εἰ δὲ μή, τά γε πλεῖστα, οὐκ ἂν αὐτὸν λανθάνοι ἐς πόλιν ἀφικνεόμενον, ἧς ἂν ἄπειρος ᾖ, οὔτε νοσήματα ἐπιχώρια οὔτε τῶν κοινῶν ἡ φύσις, ὁκοίη τίς ἐστιν· ὥστε μὴ ἀπορεῖσθαι ἐν τῇ θεραπείῃ τῶν νούσων μηδὲ διαμαρτάνειν· ἃ εἰκός ἐστι γίνεσθαι, ἢν μή τις ταῦτα πρότερον εἰδὼς προφροντίσῃ περὶ ἑκάστου· τοῦ δὲ χρόνου προϊόντος καὶ τοῦ ἐνιαυτοῦ λέγοι ἄν, ὁκόσα τε νοσήματα μέλλει πάγκοινα τὴν πόλιν κατασχήσειν ἢ θέρεος ἢ χειμῶνος, ὁκόσα τε ἴδια ἑκάστῳ κίνδυνος γίνεσθαι ἐκ μεταβολῆς τῆς διαίτης. εἰδὼς γὰρ τῶν ὡρέων τὰς μεταβολὰς καὶ τῶν ἄστρων ⟨τὰς⟩ ἐπιτολάς τε καὶ δύσιας, καθότι ἕκαστον τούτων γίνεται, προειδείη ἂν τὸ ἔτος ὁκοῖόν τι μέλλει γίνεσθαι. οὕτως ἄν τις ἐννοεύμενος καὶ προγινώσκων τοὺς καιροὺς μάλιστ' ἂν εἰδείη περὶ ἑκάστου καὶ τὰ πλεῖστα τυγχάνοι τῆς ὑγιείης καὶ κατορθοίη οὐκ ἐλάχιστα ἐν τῇ τέχνῃ. εἰ δὲ δοκέοι*

1 *ἁλυκοῖσί τε καὶ* b ad *ἀτεράμν.* i. m. *σκληροῖς καὶ ἀμεταβλήτοις καὶ δυσεψήτοις* b 3 *ἐν κοίλῳ* libri, *ἐγκοίλια* b 9 *γε* vulg., *τε* V𝔅 11 *κοιλιῶν* 𝔅b 12 *μὴδὲ* V ut solet 14 *πρόφρων τις ᾖ·* 𝔅, *πρόφροντις ᾖ·* V, *πρόφροντις ᾖ* in interiore mg., in exteriore *προφρόντησα περὶ ἑκάστου· τοῦ δὲ χρόνου περιόντος* ∴ *προϊόντος* b, *περὶ ἑκ. δὲ χρ. προσιόντος* V𝔅 17 *ὅσα τὲ ἰδία* V 19 *τὰς* add. Wil. 21 *ἄν τις ἐρευνώμενος* libri, *αὐτῆς ἐννοούμενος* b 23 *τυγχάνει* et libri et b 24 *κατορθοίη* b, *κατ' ὀρθὸν φέροιτο* caet.

τις ταῦτα μετεωρολόγα εἶναι, εἰ μετασταίη τῆς γνώμης, μάθοι ἄν, ὅτι οὐκ ἐλάχιστον μέρος συμβάλλεται ἀστρονομίη ἐς ἰητρικήν, ἀλλὰ πάνυ πλεῖστον. ἅμα γὰρ τῇσιν ὥρῃσι καὶ αἱ νοῦσοι [καὶ αἱ κοιλίαι] μεταβάλλουσιν τοῖσιν ἀνθρώποισιν.

3. *Ὅκως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπεῖν καὶ βασανίζειν, ἐγὼ φράσω σαφέως. ἥτις μὲν πόλις πρὸς τὰ πνεύματα κεῖται τὰ θερμά — ταῦτα δ' ἐστὶ
μεταξὺ τῆς τε χειμερινῆς ἀνα|τολῆς τοῦ ἡλίου καὶ τῶν* 16
*δυσμέων τῶν χειμερινῶν — καὶ αὐτῇ ταῦτα τὰ πνεύματά ἐστι σύννομα, τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων σκέπη, ἐν ταύτῃ τῇ πόλει [ἐστὶ] τά τε ὕδατα πολλὰ καὶ ὑφαλυκὰ ἀνάγκη εἶναι καὶ μετέωρα, τοῦ μὲν θέρεος θερμά, τοῦ δὲ χειμῶνος ψυχρά· τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν καὶ φλεγματώδεας, τάς τε κοιλίας αὐτῶν πυκνὰ ἐκταράσσεσθαι ἀπὸ τῆς κεφαλῆς τοῦ φλέγματος ἐπικαταρρέοντος· τά τε εἴδεα ἐπὶ τὸ πλῆθος αὐτῶν ἀτονώτερα εἶναι· ἐσθίειν δ' οὐκ ἀγαθοὺς εἶναι οὐδὲ πίνειν. ὁκόσοι μὲν γὰρ κεφαλὰς
ἀσθενέας ἔχουσιν, οὐκ ἂν εἴησαν ἀγαθοὶ | πίνειν· ἡ γὰρ* 18
κραιπάλη μᾶλλον πιέζει. νοσήματά τε τάδε ἐπιχώρια 21
εἶναι· πρῶτον μὲν τὰς γυναῖκας νοσερὰς καὶ ῥοώδεας

1 *μετεωρόλογα* V 𝔅 4 *καὶ αἱ ν. καὶ αἱ κ.* 𝔅, *κ. αἱ ν. κ. κ.* b, *αἱ νοῦσοι καὶ* om. V vulg., *κ. αἱ κ.* del. Wil. 7 in marg. sin. *εἰ* (pro *ἡ*), in marg. dextr. *περὶ πόλεως* b 8 *ἔσται* V 11 *ἀριστω`* b
12 *ἐστὶ* del. Wil. 13 *ὑφαλυκὰ* b, *ὕφαλοι καὶ* V, *ὕφαλα καὶ* 𝔅
14 post *ψυχρὰ* in cod. V lacuna. Sequitur enim *καὶ λειεντερίαι κ. τ. λ.* v. infra c. 10, p. 51. Quae exciderunt, cod. V praebet in libro de cap. vuln. inserta, v. Prolegom. p. XVII sq. XXIII, post *ψυχρὰ* 𝔅 inserit: *καὶ λειεντερίαι — ῥηϊδίως.*, sequitur: *καὶ ὁκόσαι μὲν τῶν πόλ. — ἐγγένηται.* v. infra c. 10, *τοῦ δὲ χειμῶνος ψυχροῦ* (*ὑγροῦ* 𝔅) ante *τούς τε ἀνθρ.* ut vulgo sic in V 𝔅 repetitum del. Littr. 15 *τε* et infra l. 19 *εἶναι* cum signo praetermissionis b 18 *ἀτονότ.* 𝔅 20 *κἂν* pro *οὐκ ἂν* b 21 *κρεπάλη* 𝔅

εἶναι· ἔπειτα πολλὰς ἀτόκους ὑπὸ νούσου καὶ οὐ φύσει ἐκτιτρώσκεσθαί τε πυκνά· τοῖσί τε παιδίοισιν ἐπιπίπτειν σπασμούς τε καὶ ἄσθματα καὶ ἃ νομίζουσι τὸ θεῖον ποιεῖν καὶ ἱερὴν νοῦσον εἶναι· τοῖσι δὲ ἀνδράσι δυσεντερίας καὶ διαρροίας καὶ ἠπιάλους καὶ πυρετοὺς πολυχρονίους χειμερινοὺς καὶ ἐπινυκτίδας πολλὰς καὶ αἱμορροΐδας ἐν τῇ ἕδρῃ. πλευρίτιδες δὲ καὶ περιπνευμονίαι καὶ καῦσοι καὶ ὁκόσα ὀξέα νοσήματα νομίζονται εἶναι οὐκ ἐγγίνονται πολλά. οὐ γὰρ οἷόν τε, ὅκου ἂν κοιλίαι ὑγραὶ ἔωσι, τὰς νούσους ταύτας ἰσχύειν. ὀφθαλμίαι τε ἐγγίνονται ὑγραὶ καὶ οὐ χαλεπαί, ὀλιγοχρόνιοι, ἢν μή τι κατάσχῃ νόσημα πάγκοινον ἐκ μεταβολῆς μεγάλης. καὶ ὁκόταν τὰ πεντήκοντα ἔτεα ὑπερβάλωσι, κατάρροοι ἐπιγενόμενοι ἐκ τοῦ ἐγκεφάλου παραπληκτικοὺς ποιέουσι τοὺς ἀνθρώπους, ὁκόταν ἐξαίφνης ἡλιωθέωσι τὴν κεφαλὴν ἢ ῥιγώσωσι. ταῦτα μὲν τὰ νοσήματα αὐτοῖσιν ἐπιχώριά ἐστι. χωρὶς δέ, ἥν τι πάγκοινον κατάσχῃ νόσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ τούτου μετέχουσιν.

4. *Ὁκόσαι δ' ἀντικέονται τούτων πρὸς τὰ πνεύματα τὰ ψυχρὰ τὰ μεταξὺ τῶν δυσμέων τῶν θερινῶν τοῦ ἡλίου καὶ τῆς ἀνατολῆς τῆς θερινῆς, καὶ αὐτῇσι ταῦτα τὰ πνεύματα ἐπιχώριά ἐστι, τοῦ δὲ νότου καὶ τῶν θερμῶν πνευμάτων σκέπη, ὧδε ἔχει περὶ τῶν πολίων τούτων· πρῶτον μὲν τὰ ὕδατα [τὰ] σκληρά τε καὶ*

2 *τιτρώσκεσθαι* V 𝔅, *ἐκτ.* vulg. *πυκνάτισιν* b 2. 3 *ὑποπίπτ.* b 3 *τε καὶ* b, *τε* om. libri *καὶ ἃ* 𝔅b, *καὶ* om. V 4 *τὸ θεῖον* Zving. i. m. Cor., *τὸ παιδίον* libri *πονέειν* 𝔅

7 *πλευρίτιδας* (ε supra α) V 9 *εἶναι* b, om. V𝔅 *τὰ πολλὰ* b 10 *εῶσι* V 13 *μεγάλης* om. codd., *μεγάλης ἐν τῷ ἐγκεφάλῳ* b, *de magna metabula* 7027 14 Cor., *ὑπερβάλλ.* libri 17 *καὶ* pro *χωρὶς δὲ* b 21 *τὰ* ante *μετ.* om. omnes praet. b 24 *θερμῶν* Cor., *θερινῶν* libri

ψυχρὰ ὡς ἐπὶ τὸ πλῆθος ⟨καὶ⟩ ἁλυκὰ γίνεται. τοὺς δὲ ἀνθρώπους εὐτόνους τε καὶ σκελιφροὺς ἀνάγκη | εἶναι, 20 τούς τε πλείους τὰς κοιλίας ἀτεράμνους ἔχειν καὶ σκληρὰς τὰς κάτω, τὰς δὲ ἄνω εὐροωτέρας· χολώδεάς τε μᾶλλον ἢ φλεγματίας εἶναι. τὰς δὲ κεφαλὰς ὑγιηρὰς ἔχουσι καὶ σκληράς· ῥηγματίαι τέ εἰσιν ἐπὶ τὸ πλῆθος. νοσεύματα δὲ αὐτοῖσιν ἐπιδημεῖ τάδε· πλευρίτιδές τε πολλαὶ αἵ τε ὀξεῖαι νομιζόμεναι νοῦσοι. ἀνάγκη δὲ ὧδε ἔχειν, ὁκόταν αἱ κοιλίαι σκληραὶ ἔωσιν· ἔμπυοί τε πολλοὶ γίνονται ἀπὸ πάσης προφάσιος. τούτου δὲ αἴτιόν ἐστι τοῦ σώματος ἡ ἔντασις καὶ ἡ σκληρότης τῆς κοιλίης. ἡ γὰρ ξηρότης ῥηγματίας ποιεῖ εἶναι καὶ τοῦ ὕδατος ἡ ψυχρότης. ἐδωδοὺς δὲ ἀνάγκη τὰς τοιαύτας φύσιας εἶναι καὶ οὐ πολυπότας· [οὐ γὰρ οἷόν τε ἅμα πολυβόρους τε εἶναι καὶ πολυπότας·] ὀφθαλμίας τε γίνεσθαι μὲν διὰ χρόνου, γίνεσθαι δὲ σκληρὰς καὶ ἰσχυράς, καὶ εὐθέως ῥήγνυσθαι τὰ ὄμματα· αἱμορραγίας δὲ ἐκ τῶν ῥινῶν τοῖσι νεωτέροισι τριήκοντα ἐτέων γίνεσθαι ἰσχυρὰς τοῦ θέρεος· τά τε ἱερὰ νοσεύματα καλεύμενα, ὀλίγα μὲν ταῦτα, ἰσχυρὰ δέ. μακροβίους δὲ τοὺς ἀνθρώπους τούτους μᾶλλον εἰκὸς εἶναι τῶν ἑτέρων· τά τε ἕλκεα οὐ φλεγματώδεα ἐγγίνεσθαι οὐδὲ ἀγριοῦσθαι· τά τε ἤθεα ἀγριώτερα ἢ ἡμερώτερα. 22 τοῖσι μὲν ἀνδράσι ταῦτα τὰ νοσήματα ἐπιχώριά ἐστι· καὶ χωρίς, ἥν τι πάγκοινον κατάσχῃ ἐκ μεταβολῆς τῶν ὡρέων· τῇσι δὲ γυναιξί· πρῶτον μὲν στερίφαι πολλαὶ

1 καὶ ἁλ. γίν. scripsi pro librorum γλυκαίνεται (γλαυκέαται V), v. Herm. XVIII p. 26   2 εὐτόνους b, ἐντόνους caet.   5 ὑγιειρὰς 𝔅   6 ἔχουσι om. b   7 ἐπι(δημεῖ om.) b   τάδε 𝔅, τὰ δὲ b, τὰ V   9 αἱ om. omnes praeter b   13 δὲ om. b   14 οὐ γὰρ — πολυπότας om. 𝔅b, cf. infra p. 41, 4   15 πολυβάρους V   16 διαχρόνους V   17 b, αἱμοῤῥοίας caet.   22 τῶν b, om. caet. 24 ταῦτα 𝔅 Gal., om. V   26 στεριφναὶ Vb, στριφναὶ 𝔅, στερί-

γίνονται διὰ τὰ ὕδατα ἐόντα σκληρά τε καὶ ἀτέραμνα καὶ ψυχρά. αἱ γὰρ καθάρσιες οὐκ ἐπιγίνονται τῶν ἐπιμηνίων ἐπιτήδειαι, ἀλλὰ ὀλίγαι καὶ πονηραί. ἔπειτα τίκτουσι χαλεπῶς· ἐκτιτρώσκουσι δὲ οὐ σφόδρα. ὁκόταν δὲ τέκωσι, τὰ παιδία ἀδύνατοι τρέφειν εἰσί· τὸ γὰρ γάλα ἀποσβέννυται ἀπὸ τῶν ὑδάτων τῆς σκληρότητος καὶ ἀτεραμνίης· φθίσιές τε γίνονται συχναὶ ἀπὸ τῶν τοκετῶν. ὑπὸ γὰρ βίης ῥήγματα ἴσχουσι καὶ σπάσματα. τοῖς δὲ παιδίοισιν ὕδρωπες ἐγγίνονται ἐν τοῖσιν ὄρχεσιν, ἕως μικρὰ ᾖ· ἔπειτα προϊούσης τῆς ἡλικίης ἀφανίζονται· ἡβῶσί τε ὀψὲ ἐν ταύτῃ τῇ πόλει.

5. Περὶ μὲν οὖν τῶν θερμῶν πνευμάτων καὶ τῶν ψυχρῶν καὶ τῶν πολίων τούτων ὧδε ἔχει ὡς προείρηται. ὁκόσαι δὲ κέονται πρὸς τὰ πνεύματα τὰ μεταξὺ τῶν θερινῶν ἀνατολέων τοῦ ἡλίου καὶ τῶν χειμερινῶν καὶ ὁκόσαι τὸ ἐναντίον τούτων, ὧδε ἔχει περὶ αὐτέων· ὁκόσαι μὲν πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου κέονται, ταύτας εἰκὸς εἶναι ὑγιεινοτέρας τῶν πρὸς τὰς ἄρκτους ἐστραμμένων καὶ τῶν πρὸς τὰ θερμά, ἢν καὶ στάδιον τὸ μεταξὺ ᾖ. πρῶτον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν· ἔπειτα τὰ ὕδατα, ὁκόσα πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς ἐστι, πάντα λαμπρά τε εἶναι ἀνάγκη καὶ εὐώδεα καὶ μαλθακὰ καὶ ἐρατεινὰ ἐγγίνεσθαι ἐν ταύτῃ τῇ πόλει· ὁ γὰρ ἥλιος κωλύει ἀνίσχων καὶ καταλάμπων. [τὸ γὰρ ἑωθινὸν ἑκάστοτε

φαι Cor., στιφραὶ Erm. Rhd. 1 ὄντα om. b 4 τιτρώσκ. V𝔅 τε codd., δὲ Erm. 5 ἀδύνατα b 7 ἤγουν ἀμαλάκτου post ἀτερ. adscr. b 8 τόκων b 9 τε pro δὲ V b (παι)δίοισιν — ὄρχε om. b 10 τέως ἢν pro ἕως b 12. 13 τ. θερμ. κ. τ. ψ. πνευμάτων τῶν οὗ (οὕτως b Ald.) κειμένων ὧδε κ. τ. λ. b 19 ὕδατα post θερμὰ add. b 20 Cor., libri πρότερον 23 ἢ ἐρατ. V, καὶ ἔρα τε μὴ b 24 κολούει 𝔅 25 quae uncis inclusi, expunxerunt Erm. et Rhd., cf. infra p. 39, l. 17

αὐτὸς ὁ ἠὴρ ἐπιχεῖ ὡς ἐπὶ τὸ πολύ.] τά τε εἴδεα τῶν ἀνθρώπων εὔχροά τε καὶ ἀνθηρά ἐστι μᾶλλον ἢ ἄλλῃ, ἢν μή τις νοῦσος κωλύῃ. λαμπρόφωνοί τε οἱ ἄνθρωποι ὀργήν τε καὶ σύνεσιν βελτίους εἰσὶ τῶν προσβορείων, ἧπερ καὶ τὰ ἄλλα τὰ ἐμφυόμενα ἀμείνω ἐστίν. ἔοικέ τε μάλιστα ἡ οὕτω κειμένη πόλις ἦρι κατὰ τὴν μετριότητα τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ· τά τε νοσεύματα ἐλάσσω μὲν γίνεται καὶ ἀσθενέστερα, ἔοικε δὲ τοῖς ἐν τῇσι πόλεσι γενομένοις νοσεύμασι τῇσι πρὸς τὰ θερμὰ πνεύματα ἐστραμμένῃσιν. αἵ τε γυναῖκες αὐτόθι ἀρικύμονές εἰσι σφόδρα καὶ τίκτουσι ῥηϊδίως.

6. Περὶ μὲν τούτων ὧδε ἔχει. ὁκόσαι δὲ πρὸς τὰς δύσιας κεῖνται καὶ αὐτῇσίν ἐστι σκέπη τῶν πνευμάτων τῶν ἀπὸ τῆς ἠοῦς πνεόντων τά τε θερμὰ πνεύματα παραρρεῖ καὶ τὰ [ψυχρὰ] ἀπὸ τῶν ἄρκτων, ἀνάγκη ταύτας τὰς πόλιας θέσιν κεῖσθαι νοσερωτάτην. πρῶτον μὲν γὰρ τὰ ὕδατα οὐ λαμπρά· αἴτιον δέ, ὅτι ὁ ἠὴρ τὸ ἑωθινὸν κατέχει ὡς ἐπὶ τὸ πολύ, ὅστις τῷ ὕδατι ἐγκαταμειγνύμενος τὸ λαμπρὸν ἀφανίζει· ὁ γὰρ ἥλιος πρὶν ἄνω ἀρθῆναι οὐκ ἐπιλάμπει. τοῦ δὲ θέρεος ἕωθεν μὲν αὖραι ψυχραὶ πνέουσι καὶ δρόσοι πίπτουσι· τὸ δὲ λοιπὸν ἥλιος ἐγκαταδύνων ὡς τὰ μάλιστα διέψει τοὺς ἀνθρώπους, διὸ καὶ ἀχρόους τε εἰκὸς εἶναι καὶ ἀρρώστους, τῶν τε νοσευμάτων πάντων μετέχειν μέρος τῶν προειρημένων· οὐδὲν γὰρ αὐτοῖς ἀποκέκριται. βαρυφώνους τε εἰκὸς

1 ὁ αὐτὸς ἀὴρ b ἐπέχει b, ἐπισχεῖ 𝔅 2 ἢ ἄλλῃ b, ἢ ἄλλα 𝔅, caet. om. ἢ ἄλλ. 3 post νοῦσος add. ἄλλη omn. praeter b 4 προσβορέων V𝔅, πρὸς βορέην caet. 5 εἴπερ libri, ἧπερ Cor. ed. 2 8 γίγνεσθαι V 9 γιν. V τὰ post θερμὰ iterant V𝔅, om. b 10 ἀερικύμ. b, ἐναρικύμ. V𝔅, ἀρικύμ. Cor. 15 ψυχρὰ del. Wil. ἐκ τῶν b 17 ἑωθ. V 18 ἐγκαταμεννύμ. 𝔅 21 πνεύουσι 𝔅 22 ἐγκαταδύνει b ὡς τὰ μ. b, ὥστε μ. caet. διεψεῖν b 23 ἀρρωστοῦσι V τῷ τε b 25 γὰρ om. omnes praeter 𝔅

εἶναι καὶ βραγχώδεας διὰ τὸν ἠέρα, ὅτι ἀκάθαρτος ὡς ἐπὶ τὸ πολὺ αὐτόθι γίνεται καὶ νοσώδης· οὔτε γὰρ ὑπὸ τῶν βορείων ἐκκρίνεται σφόδρα· οὐ γὰρ προσέχουσι τὰ πνεύματα· ἅ τε προσέχουσιν αὐτοῖσι καὶ πρόσκεινται ὑδατεινότατά ἐστιν· ἐπεὶ τοιαῦτα τὰ ἀπὸ τῆς ἑσπέρης πνεύματα· ἔοικέν τε μετοπώρῳ μάλιστα ἡ θέσις ἡ τοιαύτη τῆς πόλιος κατὰ τὰς τῆς ἡμέρης μεταβολάς, ὅτι πολὺ τὸ μέσον γίνεται τοῦ τε ἑωθινοῦ καὶ τοῦ πρὸς τὴν δείλην.

7. *Περὶ μὲν πνευμάτων, ἅ τέ ἐστιν ἐπιτήδεια καὶ ἀνεπιτήδεια, ὧδε ἔχει. περὶ δὲ τῶν [λοιπῶν] ὑδάτων βούλομαι διηγήσασθαι, ἅ τέ ἐστι νοσώδεα καὶ ἃ ὑγιεινότατα καὶ ὁκόσα ἀφ' ὕδατος κακὰ εἰκὸς γίνεσθαι καὶ ὅσα ἀγαθά. πλεῖστον γὰρ μέρος συμβάλλεται ἐς τὴν ὑγιείην. ὁκόσα μὲν οὖν ἐστιν ἑλώδεα καὶ στάσιμα καὶ λιμναῖα, ταῦτα ἀνάγκη τοῦ μὲν θέρεος εἶναι θερμὰ καὶ παχέα καὶ ὀδμὴν ἔχοντα, ἅτε οὐκ ἀπόῤῥυτα ἐόντα· ἀλλὰ τοῦ τε ὀμβρίου ὕδατος ἐπιφερομένου αἰεὶ νέου τοῦ τε ἡλίου καίοντος ἀνάγκη ἄχροά τε εἶναι καὶ πονηρὰ καὶ χολώδεα, τοῦ δὲ χειμῶνος παγετώδεά τε καὶ ψυχρὰ καὶ τεθολωμένα ὑπό τε χιόνος καὶ παγετῶν, ὥστε φλεγματωδέστατα εἶναι καὶ βραγχωδέστατα. τοῖσι δὲ πίνουσι σπλῆνας μὲν αἰεὶ μεγάλους εἶναι καὶ μεμυωμένους*

4 *οὐδὲ προσίσχουσι* pro *ἅ τε πρ.* b *αὐταίῃσι* V 5 *πρὸς αὐτὰ κεῖνται* b *ἐπεὶ τὰ ἐπὶ* (*ἀπὸ* 𝔅) *τῆς ἑσπ. πνεύματα ἔοικεν εἴτε μεθοπώρῳ μάλιστα* (· 𝔅) *ἡ θέσ. κτλ.* V 𝔅 *τοιαῦτα* in V 𝔅 Parisinisque omissum Foesius in annotationibus ex manuscriptis suppeditavit Corai, Littraeo, Erm., Rhd. 6 *ἔοικέ τε* b, *ἔοικεν εἴτε* sine interp. praec. V 𝔅 *μεθοπ.* codd. 7 *τάς τε ἡμ.* V 8 *ἑωθ.* V, ut solet, v. infr. *ἑλώδεα* 11 *λοιπῶν* del. Wil., om. Par. 7027 12 *βούλομαι καὶ περὶ Ἀσίης καὶ Εὐρώπης λέξαι ὡς διαφέρουσιν κτλ.* (v. infra c. 12) b i. m. 17 *ἀνάγκη* post *ἔχ.* add. b, *Γαλ. ἐν τῷ περὶ χυμῶν* in ora b (= tom. XVI, p. 364 ed. Kuehn) 18 *ἐπιφερ.* b, *ἐπιτρεφομένου* caet. 19 *ἀνάγκη* om. b 22 *εἶναι* post *βραγχ.* 𝔅

καὶ τὰς γαστέρας σκληράς τε καὶ λεπτὰς καὶ θερμάς, τοὺς δὲ ὤμους καὶ τὰς κληῖδας καὶ τὸ πρόσωπον καταλελεπτύσθαι· ἐς γὰρ τὸν σπλῆνα αἱ σάρκες συντήκονται, διότι ἰσχνοί | εἰσιν· ἐδωδούς τε εἶναι τοὺς 28 *τοιούτους καὶ διψηρούς· τάς τε κοιλίας ξηροτάτας τε καὶ θερμοτάτας ⟨καὶ⟩ τὰς ἄνω καὶ τὰς κάτω ἔχειν, ὥστε τῶν φαρμάκων ἰσχυροτέρων δεῖσθαι. τοῦτο μὲν τὸ νόσημα αὐτοῖσι σύντροφόν ἐστι καὶ θέρεος καὶ χειμῶνος. πρὸς δὲ τούτοισιν οἱ ὕδρωπες πλεῖστοί τε γίνονται καὶ θανατωδέστατοι. τοῦ γὰρ θέρεος δυσεντερίαι τε πολλαὶ ἐμπίπτουσι καὶ διάρροιαι καὶ πυρετοὶ τεταρταῖοι πολυχρόνιοι. ταῦτα δὲ τὰ νοσεύματα μηκυνθέντα τὰς τοιαύτας φύσιας ἐς ὕδρωπας καθίστησι καὶ ἀποκτείνει. ταῦτα μὲν αὐτοῖσι τοῦ θέρεος γίνεται. τοῦ δὲ χειμῶνος τοῖσι νεωτέροισι μὲν περιπνευμονίαι τε καὶ μανιώδεα νοσεύματα, τοῖσι δὲ πρεσβυτέροισι καῦσοι διὰ τὴν τῆς κοιλίης σκληρότητα. τῇσι δὲ γυναιξὶν οἰδήματα ἐγγίνεται καὶ φλέγμα λευκόν, καὶ ἐν γαστρὶ ἴσχουσι μόλις καὶ τίκτουσι χαλεπῶς· μεγάλα τε τὰ ἔμβρυα καὶ οἰδέοντα. ἔπειτα ἐν τῇσι τροφῇσι φθινώδεά τε καὶ πονηρὰ γίνεται· ἥ τε κάθαρσις τῇσι γυναιξὶν οὐκ ἐπιγίνεται χρηστὴ μετὰ τὸν τόκον. τοῖσι δὲ παιδίοισι κῆλαι ἐπιγίνονται μάλιστα καὶ τοῖσιν ἀνδράσι κίρσοι καὶ ἕλκεα ἐν τῇσι κνήμῃσιν, ὥστε τὰς τοιαύτας φύσιας οὐχ οἷόν τε μακροβίους εἶναι, ἀλλὰ προγηράσκειν τοῦ χρόνου τοῦ ἱκνευμένου. ἔτι δὲ αἱ γυναῖκες δοκέουσιν ἔχειν ἐν γαστρὶ, καὶ ὁκόταν ὁ τόκος*

3 *καταλελεπτῦσθαι* V, *καὶ κατασχάνθαι* add. b 6 *θερμ.* ⟨*καὶ*⟩ Erm. et Rhd. ex marg. Merc. et Zving., om. caet. 9 Littr. ex Galen. t. 16 p. 364 Kuehn, *ὕδρωπές τε καὶ πλεῖστοι γίν.* libri 12 *τε* ante *τεταρτ.* add. 𝔅 vulg., om. V *μηκυνθεῦντα* V 20 *ἐν* ss. 𝔅 23 *καὶ* om. 𝔅, *καὶ τ. ἀνδρᾶσι κιρσοὶ* V 27 *δοκεύουσιν* V

ῇ, ἀφανίζεται τὸ πλήρωμα τῆς γαστρός. τοῦτο δὲ γίνεται, ὁκόταν ὑδρωπιήσωσιν αἱ ὑστέραι. τὰ μὲν τοιαῦτα ὕδατα νομίζω μοχθηρὰ εἶναι πρὸς ἅπαν χρῆμα· δεύτερα δὲ ὅσων εἰσὶν αἱ πηγαὶ ἐκ πετρέων — σκληρὰ γὰρ ἀνάγκη εἶναι — ἢ ἐκ γῆς, ὅκου θερμὰ | ὕδατά ἐστιν, ἢ σίδηρος γίνεται ἢ χαλκὸς ἢ ἄργυρος ἢ χρυσὸς ἢ θεῖον ἢ στυπτηρίη ἢ ἄσφαλτον ἢ νίτρον. ταῦτα γὰρ πάντα ὑπὸ βίης γίνονται τοῦ θερμοῦ. οὐ τοίνυν ἐκ τοιαύτης γῆς οἷόν τε ὕδατα ἀγαθὰ γίνεσθαι, ἀλλὰ σκληρὰ καὶ καυσώδεα διουρεῖσθαί τε χαλεπὰ καὶ πρὸς τὴν διαχώρησιν ἐναντία εἶναι. ἄριστα δὲ ὁκόσα ἐκ μετεώρων χωρίων ῥεῖ καὶ λόφων γεηρῶν. αὐτά τε γάρ ἐστι γλυκέα καὶ λευκὰ καὶ τὸν οἶνον φέρειν ὀλίγον οἷά τέ ἐστιν. τοῦ δὲ χειμῶνος θερμὰ γίνεται, τοῦ δὲ θέρεος ψυχρά. οὕτω γὰρ ἂν εἴη ἐκ βαθυτάτων πηγέων. μάλιστα δὲ ἐπαινέω ὧν τὰ ῥεύματα πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου ἐρρώγασι καὶ μᾶλλον πρὸς τὰς θερινάς. ἀνάγκη γὰρ λαμπρότερα εἶναι καὶ εὐώδεα καὶ κοῦφα. ὁκόσα δέ ἐστιν ἁλυκὰ καὶ ἀτέραμνα καὶ σκληρά, ταῦτα μὲν πάντα πίνειν οὐκ ἀγαθά· εἰσὶ δ' ἔνιαι φύσιες καὶ νοσεύματα, ἐς ἃ ἐπιτήδειά ἐστι τὰ τοιαῦτα ὕδατα πινόμενα, περὶ ὧν φράσω αὐτίκα. ἔχει δὲ περὶ τούτων ὧδε· ὁκόσων μὲν αἱ πηγαὶ πρὸς τὰς ἀνατολὰς ἔχουσι, ταῦτα μὲν ἄριστα αὐτὰ ἑωυτῶν

2 post *γίν.* add. *ὑπὸ ὑδέρου* libri, om. b, Cor., Littr., *τοῦτο δὲ — ὑστέραι* om. Erm. et Rhd. 4 *ὅσον εἴην* V, *εἶεν* codd. cet. et vulg., *εἰσὶν* Rhd. et Par. 7027 (*sunt*) 5 𝔅b, *εἴ τε* pro *ἐκ γῆς* V 6. 7 *ἢ χρυσὸς* om. 𝔅 9 *οἷόν τε* om. V𝔅 *γίγνεται* V, *γίνετ.* 𝔅, *οἴονται .... γίνεσθαι* b 10 *τε* post *σκλ.* add. V *διουρέεται χαλ.* V𝔅, *διουρέεσθαι* b *τε* post *διουρ.* add. Cor. 12 *τεηρῶν* V 14 *ὁκοῖα τέ ἐστι· τὸν δὲ χειμῶνα* V 16 𝔅b, *ἐπαινεῖν* V 18 *λαμπρότατα* Wil. 19 *ὁκόσα — ἑωυτῶν ἐστι·* (43, 1) del. Wil. 20 *τῷ μὲν* V𝔅, *ταῦτα* pro *τῷ* Cor. *πάντας* 𝔅 23 *καὶ* ante *περὶ* add. V

ἐστι· δεύτερα δὲ [τῶν] τὰ μεταξὺ τῶν θερινῶν ἀνατολέων ἐστὶ τοῦ ἡλίου καὶ δυσίων, καὶ μᾶλλον τὰ πρὸς τὰς ἀνατολάς· τρίτα δὲ τὰ μεταξὺ τῶν δυσμέων τῶν θερινῶν καὶ τῶν χειμερινῶν· φαυλότατα δὲ τὰ πρὸς τὸν νότον καὶ τὰ μεταξὺ τῆς χειμερινῆς ἀνατολῆς καὶ δύσιος. καὶ ταῦτα τοῖσι μὲν νοτίοισι πάνυ πονηρά, τοῖσι δὲ βορείοισιν ἀμείνω. τούτοισι δὲ πρέπει ὧδε χρῆσθαι· ὅστις μὲν ὑγιαίνει τε καὶ ἔρρωται, μηδὲν διακρίνειν, 32 *ἀλλὰ πίνειν αἰεὶ τὸ παρεόν. ὅστις δὲ νούσου εἵνεκα βούλεται τὸ ἐπιτηδειότατον πίνειν, ὧδε ἂν ποιέων μάλιστα τυγχάνοι τῆς ὑγιείης· ὁκόσων μὲν αἱ κοιλίαι σκληραί εἰσι καὶ συγκαίειν ἀγαθαί, τούτοισι μὲν τὰ γλυκύτατα συμφέρει καὶ κουφότατα καὶ λαμπρότατα· ὁκόσων δὲ μαλθακαὶ αἱ νηδύες καὶ ὑγραί εἰσι καὶ φλεγματώδεες, τούτοισι δὲ τὰ σκληρότατα καὶ ἀτεραμνότατα καὶ τὰ ὑφαλυκά· οὕτω γὰρ ἂν ξηραίνοιντο μάλιστα. ὁκόσα γὰρ ὕδατά ἐστιν ἕψειν ἄριστα καὶ τακερώτατα, ταῦτα καὶ τὴν κοιλίην διαλύειν εἰκὸς μάλιστα καὶ [δια]τήκειν· ὁκόσα δέ ἐστιν ἀτέραμνα καὶ σκληρὰ καὶ ἥκιστα ἑψανά, ταῦτα δὲ συνίστησι μάλιστα τὰς κοιλίας καὶ ξηραίνει. ἀλλὰ γὰρ ἐψευσμένοι εἰσὶν οἱ ἄνθρωποι τῶν ἁλμυρῶν ὑδάτων πέρι δι' ἀπειρίην, καὶ [ὅτι] νομίζεται διαχωρητικά· τὰ δὲ ἐναντιώτατά ἐστι πρὸς τὴν διαχώρησιν· ἀτέραμνα γὰρ καὶ ἀνέψανα, ὥστε καὶ τὴν κοιλίην ὑπ' αὐτῶν στύφεσθαι μᾶλλον ἢ τήκεσθαι.*

1 *τῶν* post *δὲ* add. libri, del. Littr. 5 *καὶ* post *νότ.* om. V *τῆς* b, om. V𝔅 *χειμ.* 𝔅b *θερινῆς* pro *χειμ.* V 7 *βορέοισιν* libri 12 *ἀγαθὰ* (-*αὶ* 𝔅) *εἶναι* V𝔅 15 *ταυτῇσι* 𝔅, *ταύτησι* V 16 Cor., *ξηραίνοντο* 𝔅, *ξηραίνοιτο* V 17 *ἕψειν* V 18 𝔅 b Ald., *τὰ κερεώτατα* (*αι* supra *ε*) V, *τὰ καιρώτ.* b Bas. 19 *τήκειν* Wil. 20 *ἑψανά* b, *ἕψειν* (*ἔψ.* V) *ἀγαθὰ* V𝔅 *μάλιστα κοιλ.* b, *μᾶλλον τὰς κοιλ.* V𝔅 21 b, *ψευσάμενοι* V𝔅 23 *ὅτι* del. Wil., *κατότι* Cor. *εἶναι τὰ ἁλυκά* post *διαχωρ.* add. Vb

8. *Καὶ περὶ μὲν τῶν πηγαίων ὑδάτων ὧδε ἔχει. περὶ δὲ τῶν ὀμβρίων καὶ ὁκόσα ἀπὸ χιόνος φράσω ὅκως ἔχει. τὰ μὲν ὄμβρια κουφότατα καὶ γλυκύτατά ἐστι καὶ λεπτότατα καὶ λαμπρότατα. τήν τε γὰρ ἀρχὴν ὁ ἥλιος ἀνάγει καὶ ἀναρπάζει τοῦ ὕδατος τό τε λεπτότατον καὶ κουφότατον. δῆλον δὲ οἱ ἅλες ποιέουσι. τὸ μὲν γὰρ ἁλμυρὸν λείπεται αὐτοῦ ὑπὸ πάχεος καὶ βάρεος καὶ γίνεται ἅλες, τὸ δὲ λεπτότατον ὁ ἥλιος ἀναρπάζει ὑπὸ κουφότητος· ἀνάγει δὲ τὸ τοι-*
34 *οῦτο οὐκ ἀπὸ τῶν ὑδάτων μοῦνον τῶν | λιμναίων, ἀλλὰ καὶ ἀπὸ τῆς θαλάσσης καὶ ἐξ ἁπάντων ἐν ὁκόσοισι ὑγρόν τι ἔνεστιν. ἔνεστι δὲ ἐν παντὶ χρήματι. καὶ ἐξ αὐτῶν τῶν ἀνθρώπων ἄγει τὸ λεπτότατον τῆς ἰκμάδος καὶ κουφότατον. τεκμήριον δὲ μέγιστον· ὅταν ⟨γὰρ⟩ ἄνθρωπος ἐν ἡλίῳ βαδίζῃ ἢ καθίζῃ ἱμάτιον ἔχων, ὁκόσα μὲν τοῦ χρωτὸς ὁ ἥλιος ἐφορᾷ, οὐχ ἱδρώῃ ἄν· ὁ γὰρ ἥλιος ἀναρπάζει τὸ προφαινόμενον τοῦ ἱδρῶτος· ὁκόσα δὲ ὑπὸ τοῦ ἱματίου ἐσκέπασται ἢ ὑπ' ἄλλου του, ἱδροῖ. ἐξάγεται μὲν γὰρ ὑπὸ τοῦ ἡλίου καὶ βιάζεται, σῴζεται δὲ ὑπὸ τῆς σκέπης, ὥστε μὴ ἀφανίζεσθαι ὑπὸ τοῦ ἡλίου. ὁκόταν δὲ ἐς σκιὴν ἀφίκηται, ἅπαν τὸ σῶμα ὁμοίως ἰδίει· οὐ γὰρ ἔτι ὁ ἥλιος ἐπιλάμπει. διὰ ταῦτα δὲ καὶ σήπεται τῶν ὑδάτων τάχιστα ταῦτα καὶ ὀδμὴν ἴσχει πονηρὴν τὸ ὄμβριον, ὅτι ἀπὸ πλείστων συνῆκται καὶ συμμέμεικται, ὥστε σήπεσθαι τάχιστα. ἔτι δὲ πρὸς*

1 V, *πηγέων* (*τῶν* ss.) 𝔅 3 post *μὲν* add. *οὖν* 𝔅 vulg., om. V *καὶ γλυκ.* om. b 6 *αἱ ἅλες* V𝔅 8 *παχέος καὶ βαρέος* V 12 *τι ἔνεστι* b, *τί ἐστιν* V𝔅 13 *αἰεὶ* pro *ἄγει* b 14 *ὅταν ⟨γὰρ⟩* Cobet Mnem. IX 75 15 *δ' ἄνθρ.* b 17 ante *τὸ* add. *αἰεὶ* b 18 *οὐχ* pro *του* b 19 *μὲν* om. 𝔅 22 *διίει* V𝔅, *εἰδείη* b, *ἰδίει* Heringa (observ. crit. p. 45) ex Erotiano 23 *μάλιστα* post *σήπ.* add. b

τούτοισιν ἐπειδὰν ⟨ἀν⟩αρπασθῇ καὶ μετεωρισθῇ περιφερόμενον καὶ καταμεμειγμένον ἐς τὸν ἠέρα, τὸ μὲν θολερὸν αὐτοῦ καὶ νυκτοειδὲς ἐκκρίνεται καὶ ἐξίσταται καὶ γίνεται ἠὴρ καὶ ὁμίχλη, τὸ δὲ λαμπρότατον καὶ κουφότατον αὐτοῦ λείπεται καὶ γλυκαίνεται ὑπὸ τοῦ ἡλίου καιόμενόν τε καὶ ἑψόμενον. γίνεται δὲ καὶ τἄλλα πάντα [τὰ] ἑψόμενα αἰεὶ γλυκύτερα. ἕως μὲν οὖν διεσκεδασμένον ᾖ καὶ μήπω συνεστήκῃ, φέρεται μετέωρον. ὁκόταν δέ κου ἀθροισθῇ καὶ συστραφῇ ἐς τὸ αὐτὸ ὑπὸ ἀνέμων ἀλλήλοισιν ἐναντιωθέντων ἐξαίφνης, τότε καταρρήγνυται, ᾗ ἂν τύχῃ πλεῖστον συστραφέν. τότε γὰρ ἐοικὸς τοῦτο μᾶλλον γίνεσθαι, ὁκόταν τὰ νέφεα [μὴ] ὑπὸ ἀνέμου ⟨σύ⟩στασιν ἔχοντα ὡρμημένα ἐόντα καὶ χωρέοντα ἐξαίφνης ἀντικόψῃ πνεῦμα ἐναντίον καὶ ἕτερα νέφεα· ἐνταῦθα τὸ μὲν πρῶτον αὐτοῦ | 36 συστρέφεται, τὰ δὲ ὄπισθεν ἐπιφέρεταί [τε] καὶ οὕτω παχύνεται καὶ μελαίνεται καὶ συστρέφεται ἐς τὸ αὐτὸ καὶ ὑπὸ βάρεος καταρρήγνυται καὶ ὄμβροι γίνονται. ταῦτα μέν ἐστιν ἄριστα κατὰ τὸ εἰκός. δεῖται δὲ ἀφέψεσθαι καὶ ἀποσήπεσθαι· εἰ δὲ μή, ὀδμὴν ἴσχει πονηρὴν καὶ βράγχος καὶ βῆχες καὶ βαρυφωνίη τοῖς πίνουσι προσίσταται.

Τὰ δὲ ἀπὸ χιόνος καὶ κρυστάλλων πονηρὰ πάντα. ὁκόταν γὰρ ἅπαξ παγῇ, οὐκ ἔτι ἐς τὴν ἀρχαίην φύσιν

1 ἀναρπ. Cor. 2, ἁρπ. libri καὶ μετεωρ. om. b 4 ὁμίχλη V λαμπρ. V𝔅b, λεπτότατον vulg. 6 ἑψόμ., ut solet, V 7 τὰ del. Wil. γλυκύτερα b Cor. 2, γλυκέα V𝔅 8 ξυνεστήκει V𝔅 9 ἅπαν pro κου b 10 ῥήγνυται pro καταρρ. b 12 γίνεσθαι b, γί(γ V)νεται V𝔅 νέφ. μὴ (ἤδη?) ὑ. ἀ. στάσιν ἔχοντος libri (*nubes de vento concursum habentes* 7027) 15 τὰ μὲν b, τὸ μ. Erm., articulum om. V𝔅 16 τε del. Wil. 17 καὶ συστρ. ἐ τ. α. del. Wil. βαρέος V 19 ἀποσήπεσθαι codd., ἀποσήθεσθαι Foes., Cor. 2, Erm. 20 βράγχοι b 21 καὶ βῆχες b𝔅, om. V βαρυφωνίη b, βαρυφωνίην V𝔅 προίστασθαι V, προσίστασθαι 𝔅, προσίσταται Littr.

καθίσταται, ἀλλὰ τὸ μὲν αὐτοῦ λαμπρὸν καὶ κοῦφον καὶ γλυκὺ ἐκκρίνεται καὶ ἀφανίζεται, τὸ δὲ θολωδέστατον καὶ σταθμωδέστατον λείπεται. γνοίης δ' ἂν ὧδε· εἰ γὰρ βούλει, ὅταν ᾖ χειμών, ἐς ἀγγεῖον μέτρῳ ἐγχέας ὕδωρ θεῖναι ἐς τὴν αἰθρίην, ἵνα πήξεται μάλιστα, ἔπειτα τῇ ὑστεραίῃ ἐσενεγκὼν ἐς ἀλέην, ὅκου χαλάσει μάλιστα ὁ παγετός, ὁκόταν δὲ λυθῇ, ἀναμετρεῖν τὸ ὕδωρ, εὑρήσεις ἔλασσον συχνῷ. τοῦτο τεκμήριον, ὅτι ὑπὸ τῆς πήξιος ἀφανίζεται καὶ ἀναξηραίνεται τὸ κουφότατον καὶ λεπτότατον, οὐ τὸ βαρύτατον καὶ παχύτατον· οὐ γὰρ ἂν δύναιτο. ταύτῃ οὖν νομίζω πονηρότατα ταῦτα τὰ ὕδατα εἶναι τὰ ἀπὸ χιόνος καὶ κρυστάλλου καὶ τὰ τούτοισιν ἑπόμενα πρὸς ἅπαντα χρήματα.

9. Περὶ μὲν οὖν ὀμβρίων ὑδάτων καὶ τῶν ἀπὸ χιόνος καὶ κρυστάλλων οὕτως ἔχει. λιθιῶσι δὲ μάλιστα ὥνθρωποι καὶ ὑπὸ νεφριτίδων καὶ στραγγουρίης ἁλίσκονται καὶ ἰσχιάδων, καὶ κῆλαι γίνονται, ὅκου ὕδατα πίνουσι παντοδαπώτατα καὶ ἀπὸ ποταμῶν μεγάλων, ἐς οὓς ποταμοὶ ἕτεροι ἐμβάλλουσι, καὶ ἀπὸ λίμνης, ἐς ἣν ῥεύματα πολλὰ καὶ παντοδαπὰ ἀφικνεῦνται, καὶ ὁκόσοι ὕδασιν ἐπακτοῖσι χρέονται διὰ μακροῦ ἀγομένοισι καὶ μὴ ἐκ
38 βραχέος. οὐ γὰρ οἷόν τε ἕτερον ἑτέρῳ ἐοικέναι ὕδωρ, ἀλλὰ τὰ μὲν γλυκέα εἶναι, τὰ δὲ ἁλυκά τε καὶ στυπτηριώδεα, τὰ δὲ ἀπὸ θερμῶν ῥεῖν. συμμισγόμενα δὲ ταῦτα ἐς τωὐτὸ ἀλλήλοισι στασιάζει καὶ κρατεῖ αἰεὶ τὸ ἰσχυρότατον. ἰσχύει δὲ οὐκ αἰεὶ τωὐτό, ἀλλὰ ἄλλοτε

2 ἐκπήγνυται pro ἐκκρ. b 4 ὅταν οἱ χειμῶνες ἀγγ. V 𝔅. ὅταν χειμὼν εἰς ἀγγ. b, corr. Cor. 5 πήξηται 𝔅 9 καὶ ἀναξ. om. 𝔅 Ald. 10 οὐ γὰρ τ. β. V b 14 περὶ μὲν — ἔχει om. b 15 ἄνθρ. libri 16 νεφρίτιδος b 17 ἰσχιαδικοὶ b κηλῖται b, κηλῆται Cor. 18 ποταμοὺς libri, ποταμοὶ Cor., Littr. ex Par. 7027 (*in quibus alia* [sic!] *flumina immittantur*) 25 κρατέειν V

ἄλλο κατὰ τὰ πνεύματα· τῷ μὲν γὰρ βορέης τὴν ἰσχὺν παρέχεται, τῷ δὲ [ὁ] νότος, καὶ τῶν λοιπῶν πέρι ωὑτὸς λόγος. ὑφίστασθαι οὖν τοῖσι τοιούτοισιν ἀνάγκη ἐν τοῖς ἀγγείοις ἰλὺν καὶ ψάμμον· καὶ ἀπὸ τούτων πινομένων τὰ νοσήματα γίνεται τὰ προειρημένα· ὅτι δὲ οὐχ ἅπασιν, ἑξῆς φράσω.

Ὁκόσων μὲν ἥ τε κοιλίη εὔροός τε καὶ ὑγιηρή ἐστι καὶ ἡ κύστις μὴ πυρετώδης μηδὲ ὁ στόμαχος τῆς κύστιος συμπέφρακται λίην, οὗτοι μὲν διουρεῦσι ῥηϊδίως, καὶ ἐν τῇ κύστει οὐδὲν συστρέφεται. ὁκόσων δὲ ἂν ἡ κοιλίη πυρετώδης ᾖ, ἀνάγκη καὶ τὴν κύστιν τωὐτὸ πάσχειν. ὁκόταν γὰρ θερμανθῇ μᾶλλον τῆς φύσιος, ἐφλέγμηνεν αὐτῆς ὁ στόμαχος. ὁκόταν δὲ ταῦτα πάθῃ, τὸ οὖρον οὐκ ἀφίησιν, ἀλλ' ἐν ἑωυτῇ συνέψει καὶ συγκαίει. καὶ τὸ μὲν λεπτότατον αὐτοῦ ἀποκρίνεται καὶ τὸ καθαρώτατον διιεῖ καὶ ἐξουρεῖται, τὸ δὲ παχύτατον καὶ θολωδέστατον συστρέφεται καὶ συμπήγνυται. ⟨καὶ⟩ τὸ μὲν πρῶτον μικρόν, ἔπειτα δὲ μέζον γίνεται. κυλινδεύμενον γὰρ ὑπὸ τοῦ οὔρου, ὅ τι ἂν συνίστηται παχύ, συναρμόζει πρὸς ἑωυτὸ καὶ οὕτως αὔξεταί τε καὶ πωροῦται· καὶ ὁκόταν οὐρῇ, πρὸς τὸν στόμαχον τῆς κύστιος προσπίπτει ὑπὸ τοῦ οὔρου βιαζόμενον καὶ κωλύει οὐρεῖν καὶ ὀδύνην παρέχει ἰσχυρήν· ὥστε τὰ αἰδοῖα τρίβουσι καὶ ἕλκουσι τὰ παιδία τὰ λιθιῶντα· δοκεῖ γὰρ αὐτοῖς τὸ αἴτιον ἐνταῦθα εἶναι τῆς οὐρήσιος. τεκμήριον δέ, ὅτι οὕτως ἔχει· τὸ

1 καὶ τ. πν. libri, κατὰ τ. πν. Cor., Littr. ex Par. 7027 (*secundum* flatus) 2 ὁ del. Wil. 3 τουτέοισι 𝔅 4 ἰλῦν V𝔅 7 Cor., ὑγιηρής libri 8 μὴ δὲ V 9 ξυμπέφρακται 𝔅b, ξυμπέπρακται V 13 ἐφλήγμ. V𝔅 14 ἑωυτέῳ V𝔅, ἑωυτέη b 15 μὲν om. b 16 διεῖ V𝔅 Gal. t. XVI p. 439, διιεῖ vulg., δίεισι Wil. 18 καὶ add. Wil. δὲ b, om. V𝔅

γὰρ οὖρον λαμπρότατον οὐρέουσιν οἱ λιθιῶντες, ὅτι
40 τὸ παχύτατον καὶ θολωδέστατον αὐτοῦ μένει καὶ συστρέφεται. τὰ μὲν πλεῖστα οὕτω λιθιᾷ· γίνεται δὲ παισὶν καὶ ἀπὸ τοῦ γάλακτος, ἢν μὴ ὑγιηρὸν ᾖ, ἀλλὰ θερμόν τε λίην καὶ χολῶδες. τὴν γὰρ κοιλίην διαθερμαίνει καὶ τὴν κύστιν, ὥστε τὸ οὖρον συγκαιόμενον ταῦτα πάσχειν. καί φημι ἄμεινον εἶναι τοῖς παιδίοισι τὸν οἶνον ὡς ὑδαρέστατον διδόναι· ἧσσον γὰρ τὰς φλέβας συγκαίει καὶ συναυαίνει. τοῖσι δὲ θήλεσι λίθοι
42 οὐ γίνονται ὁμοίως· ὁ γὰρ οὐρητὴρ βραχύς ἐστιν ὁ τῆς κύστιος καὶ εὐρύς, ὥστε βιάζεσθαι τὸ οὖρον ῥηϊδίως. οὔτε γὰρ τῇ χειρὶ τρίβει τὸ αἰδοῖον ὥσπερ τὸ ἄρσεν, οὔτε ἅπτεται τοῦ οὐρητῆρος· [ἐς γὰρ τὰ αἰδοῖα ξυντέτρηνται καὶ διότι οἱ οὐρητῆρες οὐκ εὐρεῖς·] καὶ πίνουσι πλεῖον ἢ οἱ παῖδες.

10. *Περὶ* μὲν οὖν τούτων ὧδε ἔχει ἢ ὅτι τούτων ἐγγύτατα. περὶ δὲ τῶν ὡρέων ὧδε ἄν τις ἐνθυμεύμενος διαγινώσκοι, ὁκοῖόν τι μέλλει ἔσεσθαι τὸ ἔτος, εἴτε νοσερὸν εἴτε ὑγιηρόν· ἢν μὲν γὰρ κατὰ λόγον γένηται τὰ σημεῖα ἐπὶ τοῖς ἄστροισι δύνουσί τε καὶ ἐπιτέλλουσιν, ἔν τε τῷ μετοπώρῳ ὕδατα γένηται, καὶ ὁ χειμὼν μέτριος καὶ μήτε λίην εὔδιος μήτε ὑπερβάλλων

1 post λιθ. add. πρὸς τὸν (τὸ V) γινόμενον ὀῤῥόν V𝔅, del. b et Cor., b in ora: ἐν τῇ παλαιοτάτῃ γραφῇ μετὰ τὸ οἱ λιθιῶντες ἕπεται ὅτι τὸ παχύτατον 2 𝔅b, χολωδέστ. V 4 πρὸς V, πόρος b pro παισὶν 8 ἡδυρέστ. V 9 συνισχναίνει pro συναυαίνει b θήλ. αἰδοίου γίνονται ὁμοίως· οὐ γὰρ V 10 ὁμοίως om. 𝔅 11 βιάζεται V𝔅 vulg., inf. substit. Cor. 12 θαρσεὶς pro τὸ ἄρσ. V 14 post ξυντέτρ. add. οἱ δ' (δὲ b) ἄνδρες οὐκ εὐθὺ(ς b) τέτ(η b)ρηνται 𝔅b οὐρητῆρες οὐκ εὐρεῖς V𝔅, οὐρ. εἰσιν εὐρεῖς vulg. 17 π. δ. τῶν ὡ. Cor. ex cod. Gadald., δὲ ὡρῶν ὧδε 𝔅, δὲ ὡραίων ὧδε b, δ' ἐτῶν ὧδε V 18 διαγινώσκῃ 𝔅, διαγιγνώσκῃ V, διαγινώσκει b μέλλοι V𝔅 ἔτεος V 19 γένηται Littr. ex Gal. et cod. S apud Foes., γίν. V𝔅b vulg.

τὸν καιρὸν τῷ ψύχει, ἔν τε τῷ ἦρι ὕδατα γένηται ὡραῖα καὶ ἐν τῷ θέρει, οὕτω τὸ ἔτος ὑγιεινότατον εἰκὸς εἶναι. ἢν δὲ ὁ μὲν χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἦρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τὸ θέρος πυρετῶδες γίνεσθαι καὶ ὀφθαλμίας καὶ δυσεντερίας ἐμποιεῖν. ὁκόταν γὰρ τὸ πνῖγος ἐπιγένηται ἐξαίφνης τῆς τε γῆς ὑγρῆς ἐούσης ὑπὸ τῶν ὄμβρων τῶν ἐαρινῶν καὶ ὑπὸ τοῦ νότου, ἀνάγκη διπλόον τὸ 44 καῦμα εἶναι, ἀπό τε τῆς γῆς διαβρόχου ἐούσης καὶ θερμῆς καὶ ὑπὸ τοῦ ἡλίου καίοντος, τῶν τε κοιλιῶν μὴ συνεστηκυιῶν τοῖς ἀνθρώποις μήτε τοῦ ἐγκεφάλου ἀνεξηρασμένου — οὐ γὰρ οἷόν τε τοῦ ἦρος τοιούτου ἐόντος μὴ οὐ πλαδᾶν τὸ σῶμα καὶ τὴν σάρκα —· ὥστε τοὺς πυρετοὺς ἐπιπίπτειν ὀξυτάτους ἅπασιν, μάλιστα δὲ τοῖσι φλεγματίῃσι. τὰς δὲ δυσεντερίας εἰκός ἐστι γίνεσθαι καὶ τῇσι γυναιξὶ καὶ τοῖς εἴδεσι τοῖς ὑγροτάτοισι. καὶ ἢν μὲν ἐπὶ κυνὸς ἐπιτολῇ ὕδωρ ἐπιγένηται καὶ χειμὼν καὶ οἱ ἐτησίαι πνεύσωσιν, ἐλπὶς παύσασθαι καὶ τὸ μετόπωρον ὑγιηρὸν γενέσθαι· ἢν δὲ μή, κίνδυνος θανάτους τε γενέσθαι τοῖσι παιδίοισι καὶ τῇσι γυναιξίν, τοῖσι δὲ πρεσβύτῃσιν ἥκιστα, τούς τε περιγενομένους ἐς τεταρταίους ἀποτελευτᾶν καὶ ἐκ τῶν τεταρταίων ἐς ὕδρωπας. ἢν δ' ὁ μὲν χειμὼν νότιος γένηται καὶ ἔπομβρος καὶ εὔδιος, τὸ δὲ ἦρ βόρειόν τε καὶ αὐχμηρὸν καὶ χειμέριον, πρῶτον μὲν τὰς γυναῖκας, ὁκόσαι ἂν τύχωσιν ἐν γαστρὶ ἔχουσαι καὶ ὁ τόκος

3 μὲν om. b   βόρ. β et ρ i. r. V   4 ἔφομβ. κ. νότειον V
5 εἶναι pro γίν. b   καὶ δυσεντ. add. 𝔅b, om. V   6 πνίγος V
7 ὑπὸ — ἐούσης (v. 9) om. b   8 διάπλοόν V   τὸ καῦμα b, τε κ. codd.   11 ξυνεστηκηῶν b, -κουσῶν V𝔅   12 ἤρους b
13 οὐ om. 𝔅   φλυδᾶν pro πλαδ. b   14 συνεμπίπτειν b
15 φλεγματίοισι b   τὰς δὲ δυσεντ. b, δὲ om. V𝔅   16 καὶ ante τῇσι om. b   ὑγροτέροισι b   23 μὲν om. 𝔅   νότειος V

46 *αὐτῇσιν ἢ πρὸς τὸ ἦρ, ἐκτιτρώσκεσθαι· ὁκόσαι δ' ἂν καὶ τέκωσιν, ἀκρατέα τὰ παιδία τίκτειν καὶ νοσώδεα, ὥστε ἢ αὐτίκα ἀπόλλυσθαι ἢ ζῶσι λεπτά τε ἐόντα καὶ ἀσθενέα καὶ νοσώδεα. ταῦτα μὲν τῇσι γυναιξί· τοῖσι δὲ λοιποῖσι δυσεντερίας καὶ ὀφθαλμίας ξηρὰς καὶ ἐνίοισι καταρρόους ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν πνεύμονα. τοῖσι μὲν οὖν φλεγματίῃσι τὰς δυσεντερίας εἰκὸς γίνεσθαι καὶ τῇσι γυναιξὶ φλέγματος ἐπικαταρρυέντος ἀπὸ τοῦ ἐγκεφάλου διὰ τὴν ὑγρότητα τῆς φύσιος· τοῖσι δὲ χολώδεσιν ὀφθαλμίας ξηρὰς διὰ τὴν θερμότητα καὶ ξηρότητα τῆς σαρκός· τοῖσι δὲ πρεσβύτῃσι καταρρόους διὰ τὴν ἀραιότητα καὶ τὴν ἔκτηξιν τῶν φλεβῶν, ὥστε ἐξαίφνης τοὺς μὲν ἀπόλλυσθαι, τοὺς δὲ παραπλήκτους γίνεσθαι τὰ δεξιὰ ἢ τὰ ἀριστερά. ὁκόταν γὰρ τοῦ χειμῶνος ἐόντος νοτίου καὶ θερμοῦ τοῦ σώματος μὴ συνιστῆται ὁ ἐγκέφαλος μηδὲ ⟨αἱ⟩ φλέβες, τοῦ ἦρος ἐπιγενομένου βορείου καὶ αὐχμηροῦ καὶ ψυχροῦ ὁ ἐγκέφαλος, ὁπηνίκα αὐτὸν ἔδει ἅμα τῷ ἦρι διαλύεσθαι καὶ καθαίρεσθαι ὑπό τε κορύζης καὶ βράγχων,*
48 *τη|νικαῦτα πήγνυταί τε καὶ συνίσταται, ὥστε ἐξαίφνης τοῦ θέρεος ἐπιγενομένου καὶ τοῦ καύματος [καὶ] τῆς μεταβολῆς ἐπιγινομένης ταῦτα τὰ νοσεύματα ἐπιπίπτειν. καὶ ὁκόσαι μὲν τῶν πολίων κέονταί τε καλῶς τοῦ*

1 Cor., *πρ. τῷ ἦρι* libri *τιτρώσκ.* V𝔅 post *ἐκτιτρ.* add. *εἰκὸς* b 10 *ὀφθαλμίαι ξηραὶ* libri 11 *τ. δὲ ἄγαν πρεσβυτέροισι* b 12 *ἁρμότητα* V *ἔκτηξιν* b, *ἔκτασιν* V𝔅 13 post *μὲν* add. *ὑπὸ φρενίτιδος* V, om. 𝔅 14 *ἢ τὰ ἀρ.* om. V𝔅, add. b 16 *τὰ* ante *τοῦ* add. 𝔅 *ξυνίστηται* V, *ξυνίσταται* 𝔅 post *ξυνίστ.* add. *ὁ ἐγκέφαλος* b, om. caet. *μὴ δὲ* V ut solet *αἱ* add. Cor. 17 *ἐπιγινομένου* V 18 *ἔλη* pro *ἔδει* V, *γρ. ἐλπὶς ἦν* (ἢ?) *ἔδει* i. mg. b 20 *τε* ante *καὶ* om. 𝔅 21 *αὐτέου* post *καὶ* add. 𝔅 post *καύμ.* add. *καὶ* libri, del. Rhd. *κ. τῆς μετ. ἐπιγ.* del. Wil. 22 *ἐπιγενομένης* 𝔅 23 *καὶ ὁκόσαι — ἐγγένηται* (51, 8) et *καὶ λειεντερίαι* (51, 9) — *ῥηϊδίως* (51, 11) inverso ordine praebent V𝔅

ἡλίου καὶ τῶν πνευμάτων ὕδασί τε χρέονται ἀγαθοῖσιν, αὗται μὲν ἧσσον αἰσθάνονται τῶν τοιούτων μεταβολέων· ὁκόσαι δὲ ὕδασί τε ἐλείοισι χρέονται καὶ λιμνώδεσι κέονταί τε μὴ καλῶς τῶν πνευμάτων καὶ τοῦ ἡλίου, αὗται δὲ μᾶλλον. κἢν μὲν τὸ θέρος αὐχμηρὸν γένηται, θᾶσσον παύονται αἱ νοῦσοι· ἢν δὲ ἔπομβρον, πολυχρόνιοι γίνονται· καὶ φαγεδαίνας κίνδυνος ἐγγίνεσθαι ἀπὸ πάσης προφάσιος, ἢν ἕλκος [ἐγ]γένηται. καὶ λειεντερίαι καὶ ὕδρωπες τελευτῶσι τοῖσι νοσεύμασιν ἐπιγίνονται· οὐ γὰρ ἀποξηραίνονται αἱ κοιλίαι ῥηϊδίως. ἢν δὲ τὸ θέρος ἔπομβρον γένηται καὶ νότιον καὶ τὸ μετόπωρον, ⟨τὸν⟩ χειμῶνα ἀνάγκη νοσερὸν εἶναι καὶ | τοῖς φλεγματίῃσι καὶ τοῖς γεραιτέροισι 50 *τεσσαράκοντα ἐτέων καύσους γίνεσθαι εἰκός, τοῖσι δὲ χολώδεσι πλευρίτιδας καὶ περιπνευμονίας. ἢν δὲ τὸ θέρος αὐχμηρὸν γένηται καὶ βόρειον, τὸ δὲ μετόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίας ἐς τὸν χειμῶνα καὶ σφακέλους τοῦ ἐγκεφάλου εἰκὸς γίνεσθαι, καὶ προσέτι βράγχους καὶ κορύζας καὶ βῆχας, ἐνίοισι δὲ καὶ φθίσιας. ἢν δὲ βόρειόν τε ᾖ καὶ ἄνυδρον καὶ μήτε ὑπὸ κύνα ἔπομβρον μήτε ἐπὶ τῷ ἀρκτούρῳ, τοῖσι μὲν φλεγματίῃσι φύσει συμφέρει μάλιστα καὶ τοῖς ὑγροῖς τὰς φύσιας καὶ τῇσι γυναιξί· τοῖσι δὲ χολώδεσι τοῦτο πολεμιώτατον γίνεται. λίην γὰρ ἀναξηραίνονται καὶ*

supra post *τοῦ δὲ χειμῶνος ψυχρά* v. p. 35, 14 *ἐν τῇ παλαιᾷ ἀντιγράφῳ μετὰ τὸ ἢν ἕλκος ἐγγένηται ἕπεται καὶ λειεντερίαι κ. ὕδ. τελευτῶσιν* b *τε* Cobet ante *καλῶς* in Mnem. vol. IX p. 77, libri *γε* 1 *πνευμ. μεταβολέων· ὁκόσαι τε ὕδασί τε κτλ.* 𝔅 5 *αὐταὶ* 𝔅 7 *κίνδ.* 𝔅b, *κοινῶς* V 8 *γένηται* Wil. 12 *μεθόπωρον* V *τὸν* add. Wil. 13 *φλεγματίοισι* V 15 *περιπνευμονίδας* V 16 *νότιον* pro *βόρ.* V 17 *βόρειον* pro *νότ.* V 19 *φύσηας* V, *φυσίας* b 20 *μήτε — ἔπομβρον* om. V, pro *κύνα ἔπομβρον* b: (*ἐπὶ* b Ald.) *τῷ κυῒ γένηται ὕδωρ* 21 *Ἀρκτ.* 𝔅 ut solet 22 *ξυμφέροι* V𝔅, *συμφέρει* Par. C, *οὕτως ἂν ξυμφέρῃ* b

ὀφθαλμίαι αὐτοῖσιν ἐπιγίνονται ξηραὶ καὶ πυρετοὶ ὀξέες καὶ πολυχρόνιοι. ἐνίοισι δὲ καὶ μελαγχολίαι. τῆς γὰρ χολῆς τὸ μὲν ὑγρότατον καὶ ὑδαρέστατον ἀναξηραίνεται καὶ ἀναλίσκεται, τὸ δὲ παχύτατον καὶ δριμύτατον λείπεται καὶ τοῦ αἵματος κατὰ τὸν αὐτὸν λόγον· ἀφ᾽ ὧν ταῦτα τὰ νοσεύματα αὐτοῖσι γίνεται. τοῖσι δὲ φλεγματίῃσι πάντα ταῦτα ἀρωγά ἐστιν. ἀποξηραίνονται γὰρ καὶ ἐς τὸν χειμῶνα ἀφικνέονται οὐ πλαδῶντες, ἀλλὰ ἀναξηραινόμενοι.

11. *Κατὰ ταῦτά τις ἐννοεύμενος καὶ σκοπεύμενος προειδείη ἂν τὰ πλεῖστα τῶν μελλόντων ἔσεσθαι ἀπὸ τῶν μεταβολέων. φυλάσσεσθαι δὲ χρὴ μάλιστα τὰς μεταβολὰς τῶν ὡρέων τὰς μεγίστας καὶ μήτε φάρμακον διδόναι ἑκόντα ὅ τι ἐς κοιλίην μήτε τάμνειν μήτε καίειν,*
52 *πρὶν παρέλθωσιν [αἱ] ἡμέραι δέκα ἢ καὶ πλείονες· μέγισται δέ εἰσιν αἵδε αἱ τέσσαρες καὶ ἐπικινδυνόταται· ἡλίου τροπαὶ ἀμφότεραι καὶ μᾶλλον αἱ θεριναὶ καὶ αἱ ἰσημερίαι νομιζόμεναι εἶναι ἀμφότεραι, μᾶλλον δὲ αἱ μετοπωριναί. δεῖ δὲ καὶ τῶν ἄστρων τὰς ἐπιτολὰς φυλάσσεσθαι καὶ μάλιστα τοῦ κυνός, ἔπειτα*

2 *δὲ* om. V 3 *ἀναξηρ. καὶ* om. V 4 *ἀναλοῦται* V 5. 6 *ἄφνω* V 6 *τὰ* ante *νοσ.* om. V 7 *πάρεστιν* b 8 *οὐ πλαδῶντες* 𝔅b, *ὑπ᾽ ἄλλων τ᾽ ἐς* V 9 post *ἀναξηρ.* libri omnes praeter 𝔅 add. haec: *ἢν δὲ ὁ χειμὼν βόρειος γένηται καὶ ξηρός. τὸ δὲ ἦρ νότιον καὶ ἔπομβρον, κατὰ τὸ θέρος ὀφθαλμίαι γίνονται ἰσχυραί* (*στηραὶ* ss. b)· *τοῖσι δὲ παισὶ καὶ γυναιξὶ πυρετοί*, quae leviter mutata hic iterantur ex eis, quae supra leguntur p. 49, l. 3 sqq. 10 ad *ταῦτα* ss. *πάντα* b *ὁ νοσεύμενος* V, *ὁ νοεύμενος* 𝔅, *ἐννοούμενος* b 14 *μ. καίειν* (*κινέειν* Erm.) post *ἑκόντα* libri. transposui secundum ultimum aphorismum 15 *αἱ* ante *ἡμέραι* del. v. d. Linden, Cor., Litt. 16 *εἰσ. αἱ τέσσαρες* 𝔅, *εἰσ. αἱ δέκα* V vulg., *δέ εἰσιν — μᾶλλον* (v. 17) om. b, interpunctionem post *ἐπικινδ.* unus praebet 𝔅 17 *αἱ* om. V 18 *αἱ* om. V *ἰσημεριναὶ* libri, *ἰσημερίαι* Cor. 19 *μεθοπ.* V𝔅 20 *ἐπι τα* V

ἀρκτούρου, καὶ ἔτι πληϊάδων δύσιν. τά τε γὰρ νοσεύματα μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν κρίνεται. καὶ τὰ μὲν ἀποφθίνει, τὰ δὲ λήγει, τὰ δὲ ἄλλα πάντα μεθίσταται ἐς ἕτερον εἶδος καὶ ἑτέρην κατάστασιν.

12. *Περὶ μὲν τούτων οὕτως ἔχει.* βούλομαι δὲ περὶ τῆς Ἀσίης καὶ τῆς Εὐρώπης λέξαι ὁκόσον διαφέρουσιν ἀλλήλων ἐς τὰ πάντα καὶ περὶ τῶν ἐθνέων τῆς μορφῆς, ὅτι διαλλάσσει καὶ μηδὲν ἔοικεν ἀλλήλοισιν. περὶ μὲν οὖν ἁπάντων πολὺς ἂν εἴη λόγος, περὶ δὲ τῶν μεγίστων καὶ πλεῖστον διαφερόντων ἐρέω ὥς μοι δοκεῖ ἔχειν. τὴν Ἀσίην πλεῖστον διαφέρειν φημὶ τῆς Εὐρώπης ἐς τὰς φύσιας τῶν συμπάντων τῶν τε ἐκ τῆς γῆς φυομένων καὶ τῶν ἀνθρώπων. πολὺ γὰρ καλλίονα καὶ μέζονα πάντα γίνεται ἐν τῇ Ἀσίῃ, ἥ τε χώρη τῆς χώρης ἡμερωτέρη καὶ τὰ ἤθεα τῶν ἀνθρώπων ἠπιώτερα καὶ εὐοργητότερα. τὸ δὲ αἴτιον τούτων ἡ κρῆσις τῶν ὡρέων, ὅτι τοῦ ἡλίου ἐν μέσῳ τῶν | ἀνατολέων κεῖται πρὸς τὴν ἠῶ τοῦ τε 54
ψυχροῦ πορρωτέρω. τὴν δὲ αὔξησιν καὶ ἡμερότητα παρέχει πλεῖστον ἁπάντων, ὁκόταν μηδὲν ᾖ ἐπικρατέον βιαίως, ἀλλὰ παντὸς ἰσομοιρίη δυναστεύῃ. ἔχει δὲ κατὰ τὴν Ἀσίην οὐ πανταχῇ ὁμοίως, ἀλλ' ὅση μὲν τῆς χώρης ἐν μέσῳ κεῖται τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, αὕτη μὲν εὐκαρποτάτη ἐστὶ καὶ εὐδενδροτάτη καὶ εὐδιεστάτη καὶ ὕδασι καλλίστοισι κέχρηται τοῖσί τε

1 *ἐπὶ* pro *ἔτι* V, *ἔτι τὴν πλ. δύσιν* 𝔅 *δύσει* V post *νοσ.* add. *τὰ μικρὰ* b 3 *ἀποκτείνει* b *δ' ἄλλα* 𝔅 6 *εὐρώπης καὶ τῆς ἀσίης λέξαι ὁπόσον* b 8 *ὅτι* Cor., *τί* V 𝔅, *ὡς* b *μηθὲν* libri 10 *ἐν τῇ παλαιᾷ ἀντιγράφῳ μετὰ τὸ ὥς μοι δοκέει ἔχειν ἕπεται περὶ μὲν τῶν ἐν δεξιᾷ* b (cf. c. 13 init.) 13 ante *ἀνθρ.* videtur interisse *θηρίων καὶ τῶν* 15 *ἔθνεα* libri, *ἤθη* Gal. tom. XVI p. 318 *εὐεργότερα* V, *ἐνεργητικότερα* 𝔅, *ἐνεργετικώτερα* b, *εὐοργητότερα* Littraeus (Heringa) ex glossa Galeni 23 *οὐ δενδρ.* b 24 *κάλλιστα* V, *καλλίστοις* 𝔅 b

οὐρανίοισι καὶ τοῖς ἐκ τῆς γῆς. οὔτε γὰρ ὑπὸ τοῦ θερμοῦ ἐκκέκαυται λίην οὔτε ὑπὸ αὐχμῶν καὶ ἀνυδρίης ἀναξηραίνεται, οὔτε ὑπὸ ψύχεος βεβιασμένη οὔτε νοτία τε καὶ διάβροχός ἐστιν ὑπό τε ὄμβρων πολλῶν καὶ χιόνος· τά τε ὡραῖα αὐτόθι πολλὰ εἰκὸς γίνεσθαι, ὁκόσα τε ἀπὸ σπερμάτων καὶ ὁκόσα αὐτὴ ἡ γῆ ἀναδιδοῖ [φυτά], ὧν τοῖς καρποῖσι χρέονται οἱ ἄνθρωποι, ἡμεροῦντες ἐξ ἀγρίων καὶ ἐς ἐπιτήδειον μεταφυτεύοντες· τά τε ἐντρεφόμενα κτήνεα εὐθηνεῖν εἰκὸς μάλιστα καὶ τίκτειν τε πυκνότατα καὶ ἐκτρέφειν κάλλιστα· τούς τε ἀνθρώπους εὐτραφέας εἶναι καὶ τὰ εἴδεα καλλίστους καὶ μεγέθει μεγίστους καὶ ἥκιστα διαφόρους ἐς τά τε εἴδεα αὐτῶν καὶ τὰ μεγέθεα· εἰκός τε τὴν χώρην ταύτην τοῦ ἦρος ἐγγύτατα εἶναι κατὰ τὴν φύσιν καὶ τὴν
56 μετριότητα | τῶν ὡρέων. τὸ δὲ ἀνδρεῖον καὶ τὸ ταλαίπωρον καὶ τὸ ἔμπονον καὶ τὸ θυμοειδὲς οὐκ ἂν δύναιτο ἐν τοιαύτῃ φύσει ἐγγίνεσθαι * μήτε ὁμοφύλου μήτε ἀλλοφύλου, ἀλλὰ τὴν ἡδονὴν ἀνάγκη κρατεῖν· διότι πολύμορφα γίνεται τὰ ἐν τοῖς θηρίοις.

13. *Περὶ μὲν οὖν Αἰγυπτίων καὶ Λιβύων οὕτως ἔχειν μοι δοκεῖ.* περὶ δὲ τῶν ἐν δεξιῇ τοῦ ἡλίου τῶν ἀνατο-

3 πέπτεται (πιέζεται?) pro βεβ. b οὔτε ante νοτία om. libri, add. Cor. 5 ἐοικὸς γίνεται V 𝔅, ἐοικ. γίνεσθαι vulg. εἰκὸς Rhd. 6 ὅσα τε V αὕτη libri, αὐτὴ Cor. 7 φυτὰ del. Wil. οἱ om. libri praeter 𝔅 8 Zving., μεταφυτέοντες libri, -φιτύοντες Cob. l. l. p. 82 9 κτείνεα 𝔅 εὐθύνειν libri, εὐθηνέειν Cor. καὶ μάλ. codd., μ. καὶ Wil. 10 εὐτρέφειν b 12 τε om. 𝔅 13 αὐτοῦ V (αὐτοὺς αὐτῶν?), σφίσιν ἑωυτοῖσιν b 14 προσεγγύτατα pro ἦρος ἐγγ. V 15 ὀρέων b ἀταλαίπωρον libri, ταλαίπωρον Littr. Galeno teste, cf. t. IV, p 799 Kuehn 17 lacunam stat. Zving. Erm. ὁμόφυλον 𝔅 18 ἀλλόφυλον 𝔅, genetivos V b ἀνάγκη b et Cor. ex Galeni testimonio (ed. Iw. Mueller II, p. 59), om. V 𝔅 κρατέει V 19 πολύμορφον 𝔅 21 ἐν τῇ παλαιᾷ γραφῇ μετὰ τὸ περὶ μὲν οὖν αἰγυπτίων καὶ λιβύων οὕτως ἔχειν μοι δοκεῖ ἕπεται περὶ δὲ ἀθυμίης τῶν ἀνθρώπων· i. m. b (cf. infra c. 16)

λέων τῶν θερινῶν μέχρι Μαιώτιδος λίμνης — οὗτος γὰρ ὅρος τῆς Εὐρώπης καὶ τῆς Ἀσίης — ὧδε ἔχει περὶ αὐτῶν· τὰ [δὲ] ἔθνεα ταῦτα ταύτῃ διάφορα αὐτὰ ἑωυτῶν μᾶλλόν ἐστι τῶν προδιηγημένων διὰ τὰς μεταβολὰς τῶν ὡρέων καὶ τῆς χώρης τὴν φύσιν. ἔχει δὲ καὶ κατὰ τὴν γῆν ὁμοίως ὥσπερ καὶ κατὰ τοὺς ἄλλους ἀνθρώπους. ὅκου γὰρ αἱ ὧραι μεγίστας μεταβολὰς ποιέονται καὶ πυκνοτάτας, ἐκεῖ καὶ ἡ χώρη ἀγριω|τάτη [58] καὶ ἀνωμαλωτάτη ἐστί, καὶ εὑρήσεις ὄρεα τε πλεῖστα καὶ δάσεα καὶ πεδία καὶ λειμῶνας ἐόντας. ὅκου δὲ αἱ ὧραι μὴ μέγα διαλλάσσουσιν, ἐκείνοις ἡ χώρη ὁμαλωτάτη ἐστίν. οὕτω δὲ ἔχει καὶ περὶ τῶν ἀνθρώπων, εἴ τις βούλεται ἐνθυμεῖσθαι. εἰσὶ γὰρ φύσιες αἱ μὲν ὄρεσιν ἐοικυῖαι δενδρώδεσί τε καὶ ἐφύδροισιν, αἱ δὲ λεπτοῖσί τε καὶ ἀνύδροις, αἱ δὲ λειμακωδεστέροις τε καὶ ἑλώδεσι, αἱ δὲ πεδίῳ τε καὶ ψιλῇ καὶ ξηρῇ γῇ. αἱ γὰρ ὧραι αἱ μεταλλάσσουσαι τῆς μορφῆς τὴν φύσιν εἰσὶ διάφοροι. ἢν δὲ διάφοροι ἔωσι μέγα σφέων αὐτέων, διαφοραὶ καὶ πλείονες γίνονται τοῖς εἴδεσι.

14. Καὶ ὁκόσα μὲν ὀλίγον διαφέρει τῶν ἐθνέων παραλείψω, ὁκόσα δὲ μεγάλα ἢ φύσει ἢ νόμῳ, ἐρέω περὶ αὐτῶν ὡς ἔχει. καὶ πρῶτον περὶ τῶν Μακροκεφάλων. τούτων γὰρ οὐκ ἔστιν ἄλλο ἔθνος ὁμοίας τὰς κεφαλὰς ἔχον οὐδέν· τὴν μὲν γὰρ ἀρχὴν ὁ νόμος αἰτιώτατος ἐγένετο τοῦ μήκεος τῆς κεφαλῆς, νῦν δὲ καὶ ἡ φύσις συμβάλλεται τῷ νόμῳ. τοὺς γὰρ μακροτάτην ἔχοντας τὴν κεφα-

1 τῶν θερινῶν om. 𝔅, caet. libri τ. χειμερινῶν, τ. θερινῶν Cor. ex cod. Gadaldini οὗτος — Ἀσίης uncis inclusit 𝔅 2 ὁ ὅρ. 𝔅 3 δὲ del. Cor. 2 τῇ διαφορήσει τὰ b 6 Cor., libri ἅπερ 10 δάσ. Wil., δασέα libri πελιὰ V b Ald. 11 μεγάλαι ἀλλάσσ. V, μέγαλα ἀλλ. 𝔅, μέγα διαλλάσσ. b 15 λιμνακωδεστέροις b, λειμακεστέροις V 𝔅 vulg. 16 παιδίῳ 𝔅 γῇ V b, om. 𝔅 18 ἐῶσι V μέγα Cor., libri μετὰ 19 καὶ om. b 23 τουτέων libri, τουτέῳ Cor. 2 ὁμοίως 𝔅

λὴν γενναιοτάτους ἡγέονται. ἔχει δὲ [περὶ νόμου] ὧδε· τὸ παιδίον ὁκόταν γένηται τάχιστα, τὴν κεφαλὴν αὐτοῦ ἔτι ἁπαλὴν ἐοῦσαν [μαλθακοῦ ἐόντος] ἀναπλάσσουσι τῇσι χερσὶ καὶ ἀναγκάζουσιν ἐς τὸ μῆκος αὔξεσθαι δεσμά τε προσφέροντες καὶ τεχνήματα ἐπιτήδεια, ὑφ' ὧν τὸ μὲν σφαιροειδὲς τῆς κεφαλῆς κακοῦται, τὸ δὲ μῆκος αὔξεται. οὕτως τὴν ἀρχὴν ὁ νόμος κατειργάσατο, ὥστε ὑπὸ βίης τοιαύτην τὴν φύσιν γενέσθαι· τοῦ δὲ χρόνου προϊόντος ἐν φύσει ἐγένετο, ὥστε τὸν νόμον μηκέτι ἀναγκάζειν. ὁ γὰρ γόνος πανταχόθεν ἔρχεται τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρός ἀπό τε τῶν νοσερῶν νοσερός. εἰ οὖν γίνονται ἔκ τε φαλακρῶν φαλακροὶ καὶ ἐκ γλαυκῶν γλαυκοὶ καὶ ἐκ διεστραμμένων στρεβλοὶ ὡς ἐπὶ τὸ πλῆθος, καὶ περὶ τῆς ἄλλης μορφῆς ὁ αὐτὸς λόγος, τί κωλύει καὶ ἐκ μακροκεφάλου μακροκέφαλον γίνεσθαι; νῦν δὲ ὁμοίως οὐκέτι γίνονται ὡς πρότερον· ὁ γὰρ νόμος οὐκέτι ἰσχύει διὰ τὴν ὁμιλίην τῶν ἀνθρώπων.

15. *Περὶ μὲν οὖν τούτων οὕτως ἔχειν μοι δοκεῖ.* περὶ δὲ τῶν ἐν Φάσει· ἡ χώρη ἐκείνη ἑλώδης ἐστὶ καὶ θερμὴ καὶ ὑδατεινὴ καὶ δασεῖα, ὄμβροι τε αὐτόθι γίνονται πᾶσαν ὥρην πολλοί τε καὶ ἰσχυροί· ἥ τε δίαιτα τοῖς ἀνθρώποις ἐν τοῖς ἕλεσίν ἐστιν, τά τε οἰκήματα ξύλινα καὶ καλάμινα ἐν τοῖς ὕδασι μεμηχανημένα· ὀλίγῃ τε χρέονται βαδίσει κατὰ τὴν πόλιν

1 *π. νόμ.* del. Wil. 3 *μ. ἐ.* del. Rhd. *ἀναπλήσσουσι* V𝔅, *ἀναπλάσσ.* b 6 *ὑφ' ὧν — νόμος* om. 𝔅 7 *οὕτως* b, *αὐτὸς* V𝔅 8 b, *ὑπὸ βίης* om. V, *οὕτως* pro *ὑ. β.* 𝔅 11 *τοῦ σώματος* om. libri praeter b post *ὑγιηρὸς* add. *τοῦ σώματος* 𝔅, *καὶ τ. σ.* V 13 *τῶν* ante *φαλ.* add. libri *τῶν* ante *γλαυκῶν* add. b 16 *δ'* V 17 *ἢ* V𝔅 Ald., *ὡς* vulg. 18 *ὁμιλίαν* b, *-ίην* Littr. ex cod. Gadald. et glossa Erotiani, *ἀμέλειαν* V𝔅 19 *ἔχειν* om. omnes praeter b 20 *ἐλώδης* et infra *ἔλεσιν* ut solet V 24 *τοῖς* add. V𝔅

*καὶ τὸ ἐμπόριον, ἀλλὰ μονοξύλοις διαπλέουσιν ἄνω καὶ κάτω· διώρυγες γὰρ πολλαί εἰσι. τὰ δὲ ὕδατα θερμὰ καὶ στάσιμα πίνουσιν ὑπό τε τοῦ ἡλίου σηπόμενα καὶ ὑπὸ τῶν ὄμβρων ἐπαυξόμενα. αὐτός τε ὁ Φᾶσις στασιμώτατος πάντων τῶν ποταμῶν καὶ ῥέων ἠπιώτατα. οἵ τε καρποὶ ⟨οἱ⟩ γινόμενοι αὐτόθι πάντες ἀναλδέες εἰσὶ καὶ τεθηλυσμένοι καὶ ἀτελέες ὑπὸ πολυπληθείης τοῦ ὕδατος· διὸ καὶ οὐ πεπαίνονται. ἠήρ τε πολὺς κατέχει τὴν χώρην ἀπὸ τῶν ὑδάτων.
διὰ ταύτας δὴ τὰς | προφάσιας τὰ εἴδεα ἀπηλλαγμένα* 62
τῶν λοιπῶν ἀνθρώπων ἔχουσιν οἱ Φασιηνοί· τά τε γὰρ 11
μεγέθεα μεγάλοι, τὰ πάχεα δ' ὑπερπάχητες, ἄρθρον τε κατάδηλον οὐδὲν οὐδὲ φλέψ· τήν τε χροιὴν ὠχρὴν ἔχουσιν ὥσπερ ὑπὸ ἰκτέρου ἐχόμενοι· φθέγγονταί τε βαρύτατον ἀνθρώπων τῷ ἠέρι χρεώμενοι οὐ λαμπρῷ, ἀλλὰ νοτώδει καὶ θολερῷ· πρός τε τὸ ταλαιπωρεῖν τὸ σῶμα ἀργότεροι πεφύκασιν. αἵ τε ὧραι οὐ πολὺ μεταλλάσσουσιν οὔτε πρὸς τὸ πνῖγος οὔτε πρὸς τὸ ψῦχος. τά τε πνεύματα ⟨τὰ⟩ πολλὰ νότια πλὴν αὔρης μιῆς ἐπιχωρίης. αὕτη δὲ πνεῖ ἐνίοτε βίαιος καὶ χαλεπὴ καὶ θερμή· [καὶ] κέγχρωνα ὀνομάζουσι τοῦτο τὸ πνεῦμα. ὁ δὲ βορέης οὐ σφόδρα ἀφικνεῖται· ὁκόταν δὲ πνέῃ, ἀσθενὴς καὶ βληχρός.

16. *Καὶ περὶ μὲν τῆς φύσιος [καὶ] τῆς διαφορῆς καὶ τῆς μορφῆς τῶν ἐν τῇ Ἀσίῃ καὶ τῇ Εὐρώπῃ οὕτως*

1 *διαπλείουσιν* V𝔅 5 *Φάσιος* V 6 *οἱ* add. Cor. *αὐτόθι* b, *αὐτέον* 𝔅, *αὐτέοι* cet. codd. 7 *ἄναλθες* V, *ἀναλθέες* 𝔅, *ἀναλδέες* Cor., Erotian. *καὶ τεθ.* b, *κατεθηλυσμένοι* V, *κατατεθηλυσμένοι* 𝔅 12 *ὑπερπάχητες* V, *ὑπερπάχυτες* 𝔅 13 *ὕπωχρον* b 15 *ν. κ. θ.* b, *νοτώδη κ. θ.* 𝔅, *χνοώδει τε καὶ διερῷ* V 16 *πρὸς τῷ ταλ.* b, *πρὸς ταλ. τε τὸ σ.* V𝔅 18 *πνίγος* V 19 *τὰ* post *πνεύμ.* add. Cor. *αὔρης* Littr. ex exempl. S Foesiano, *ἀύτμῆς* Cor., *αὐτῆς* codd. 20 *καὶ* del. Rhd. *κέγχρονα* omn. praet. V 22 *βλιχὸς* V 23 *καὶ περὶ* V b, *καὶ* om. 𝔅 *καὶ* post *φύσ.* del. Cor. 24 *περὶ δὲ τῶν ἐν Ἀσίῃ οὕτως ἔχει* b et subicit: *τὴν ἀσίην πλεῖστον δια-*

ἔχει. περὶ δὲ τῆς ἀθυμίης τῶν ἀνθρώπων καὶ τῆς ἀνανδρείης, ὅτι ἀπολεμώτεροί εἰσι τῶν Εὐρωπαίων οἱ Ἀσιηνοὶ καὶ ἡμερώτεροι τὰ ἤθεα, αἱ ὧραι αἴτιαι μάλιστα οὐ μεγάλας τὰς μεταβολὰς ποιεύμεναι οὔτε ἐπὶ τὸ θερμὸν οὔτε ἐπὶ τὸ ψυχρόν, ἀλλὰ παραπλήσιαι. οὐ γὰρ γίνονται ἐκπλήξιες τῆς γνώμης οὔτε μετάστασις 64 ἰσχυρὴ | τοῦ σώματος, ἀφ' ὅτων εἰκὸς τὴν ὀργὴν ἀγριοῦσθαί τε καὶ τοῦ ἀγνώμονος καὶ θυμοειδέος μετέχειν μᾶλλον ἢ ἐν τῷ αὐτῷ αἰεὶ ἐόντα. αἱ γὰρ μεταβολαί εἰσι [τῶν] πάντων αἱ ἐπεγείρουσαι τὴν γνώμην τῶν ἀνθρώπων καὶ οὐκ ἐῶσαι ἀτρεμίζειν. διὰ ταύτας ἐμοὶ δοκεῖ τὰς προφάσιας ἄναλκες εἶναι τὸ γένος τὸ Ἀσιηνὸν καὶ προσέτι διὰ τοὺς νόμους. τῆς γὰρ Ἀσίης τὰ πολλὰ βασιλεύεται. ὅκου δὲ μὴ αὐτοὶ ἑωυτῶν εἰσι καρτεροὶ οἱ ἄνθρωποι μηδὲ αὐτόνομοι, ἀλλὰ δεσπόζονται, οὐ περὶ τούτου αὐτοῖσιν ὁ λόγος ἐστίν, ὅκως τὰ πολέμια ἀσκήσωσιν, ἀλλ' ὅκως μὴ δόξωσι μάχιμοι εἶναι. οἱ γὰρ κίνδυνοι οὐχ ὁμοῖοί εἰσι. τοὺς μὲν γὰρ στρατεύεσθαι εἰκὸς καὶ ταλαιπωρεῖν καὶ ἀποθνήσκειν ἐξ ἀνάγκης ὑπὲρ τῶν δεσποτέων ἀπό τε παιδίων καὶ γυναικὸς ἐόντας καὶ τῶν λοιπῶν φίλων. καὶ ὁκόσα μὲν ἂν χρηστὰ καὶ ἀνδρεῖα ἐργάσωνται, οἱ δεσπόται ἀπ' αὐτῶν αὔξονταί τε καὶ ἐκφύονται, τοὺς δὲ κινδύνους καὶ θανάτους αὐτοὶ καρποῦνται. ἔτι δὲ πρὸς

φέρειν φημὶ τῆς κτλ. cf. supra c. 12 v. 10 2 ἀπολεμώτατοι V𝔅 7 ἀφ' ὧν b 8 𝔅b, γνώμονος V θυμοειδέος 𝔅, θυμιάσεως b (θυμώδους ss. b Ald.), θερμοῦ V 9 ἢ — ἐόντα del. Wil. 10 αἱ ἐπεγείρουσαι b, ἀεί τε (ἀεὶ τὲ V) ἐγείρουσι 𝔅 τοῦ ἀνθρώπου vulg., τῶν ἀ. Baccius, Cor. 11 ἐῶσαι V𝔅, ἐῶσι vulg. 14 σημ. βασιλεῦσιν i. m. V 15 καρτερωταὶ ἀνθρ. b, καρτεροὶ οἱ ἀνθρ. 𝔅, cet. codd. om. οἱ αὐτόνομες V 16 ἐστ. ὁ λόγ. b 18 σημ. στρατιώταις i. m. V 20 ἄπο τὲ V 21 γυναικῶν b καὶ ante ὁκ. del. b 23 εὖ φύονται pro ἐκφ.? (bene nascuntur 7027) .

τούτοισι τῶν τοιούτων ἀνθρώπων ἀνάγκη ἡμεροῦσθαι τὴν ὀργὴν ὑπό τε ἀπολεμίων καὶ ἀργίης, ὥστε καὶ εἴ τις φύσει πέφυκεν ἀνδρεῖος καὶ εὔψυχος, ἀποτρέπεσθαι τὴν γνώμην ὑπὸ τῶν νόμων. μέγα δὲ τεκμήριον τούτων· ὁκόσοι γὰρ ἐν τῇ Ἀσίῃ Ἕλληνες ἢ βάρβαροι μὴ δεσπόζονται, ἀλλ' αὐτόνομοί εἰσι καὶ ἑωυτοῖσι ταλαιπωρεῦσιν, οὗτοι μαχιμώτατοί εἰσι πάντων. τοὺς γὰρ κινδύνους ἑωυτῶν πέρι κινδυνεύουσι καὶ τῆς ἀνδρείης αὐτοὶ τὰ ἆθλα φέρονται καὶ τῆς δειλίης τὴν ζημίην ὡσαύτως. εὑρήσεις δὲ καὶ τοὺς Ἀσιηνοὺς διαφέροντας αὐτοὺς ἑωυτῶν, τοὺς μὲν βελτίονας, τοὺς δὲ φαυλοτέρους ἐόντας. τούτων δὲ αἱ μεταβολαὶ αἴτιαι 66 τῶν ὡρέων, ὥσπερ μοι εἴρηται ἐν τοῖς προτέροισι.

17. Καὶ περὶ μὲν τῶν ἐν τῇ Ἀσίῃ οὕτως ἔχει. ἐν δὲ τῇ Εὐρώπῃ ἔστιν ἔθνος Σκυθικόν, ὃ περὶ τὴν λίμνην οἰκεῖ τὴν Μαιῶτιν διαφέρον τῶν ἐθνέων τῶν ἄλλων. Σαυρομάται καλεῦνται. τούτων αἱ γυναῖκες ἱππάζονταί τε καὶ τοξεύουσι καὶ ἀκοντίζουσιν ἀπὸ τῶν ἵππων καὶ μάχονται τοῖς πολεμίοις, ἕως ἂν παρθένοι ἔωσιν. οὐκ ἀποπαρθενεύονται δέ, μέχρι ἂν τῶν πολεμίων τρεῖς ἀποκτείνωσι, καὶ οὐ πρότερον συνοικέουσιν ἤπερ τὰ ἱερὰ θύσωσιν τὰ ἔννομα. ἣ δ' ἂν ἄνδρα ἑωυτῇ ἄρηται, παύεται ἱππαζομένη, ἕως ἂν μὴ ἀνάγκη καταλάβῃ παγκοίνου στρατείης. τὸν δεξιὸν δὲ μαζὸν οὐκ ἔχουσι. παιδίοις γὰρ ἐοῦσιν ἔτι νηπίοις αἱ μητέρες χαλκίον τετεχνημένον [ἢ] ἐπ' αὐτῷ

1 ἐρημοῦσθαι τὴν γῆν ὑπό τε πολεμίων vulg., ἡμεροῦσθαι τὴν ὀργὴν Zvinger i. m. 2 ἀπολεμίων V 𝔅, ἀπολεμιῶν IIb., πολεμίων vulg. 4 ὑπὸ b, ἀπὸ V 𝔅 20 ἑῶσιν V ut saepius ἀπο super παρθ. (ab alt. m.?) V 22 θύουσαι vulg., θύωσι exemplaria quaedam ap. Foes. in notis τὰ ἔννομα b, τῷ ἐν νόμῳ codd. 23 αἱρεῖται καὶ παύεται b παύηται 𝔅 26 Heringa, Cor., χάλκεον vulg. ἢ ante ἐπ' add. vulg., ὃ τετεχνημένον ᾖ ἐπ' 𝔅

τούτῳ διάπυρον ποιέουσαι πρὸς τὸν μαζὸν τιθέασι
68 *τὸν δεξιὸν καὶ ἐπικαίεται, ὥστε τὴν αὔξησιν φθείρεσθαι, ἐς δὲ τὸν δεξιὸν ὦμον καὶ βραχίονα πᾶσαν τὴν ἰσχὺν καὶ τὸ πλῆθος ἐκδιδόναι.*

18. *Περὶ δὲ τῶν λοιπῶν Σκυθέων τῆς μορφῆς, ὅτι αὐτοὶ αὐτοῖσιν ἐοίκασι καὶ οὐδαμοῖς ἄλλοις, ωὑτὸς λόγος καὶ περὶ τῶν Αἰγυπτίων, πλὴν ὅτι οἱ μὲν ὑπὸ τοῦ θερμοῦ εἰσι βεβιασμένοι, οἱ δὲ ὑπὸ τοῦ ψυχροῦ. ἡ δὲ Σκυθέων ἐρημίη καλευμένη πεδιάς ἐστι καὶ λειμακώδης καὶ ψιλὴ καὶ ἔνυδρος μετρίως. ποταμοὶ γάρ εἰσι μεγάλοι, οἳ ἐξοχετεύουσι τὸ ὕδωρ ἐκ τῶν πεδίων. ἐνταῦθα καὶ οἱ Σκύθαι διαιτεῦνται, Νομάδες δὲ καλεῦνται, ὅτι οὐκ ἔστιν οἰκήματα, ἀλλ' ἐν ἁμάξῃσιν οἰκεῦσιν. αἱ δὲ ἅμαξαί εἰσιν αἱ μὲν ἐλάχισται τετράκυκλοι, αἱ δὲ ἑξάκυκλοι· αὗται δὲ πίλοις περιπεφραγμέναι· εἰσὶ δὲ καὶ τετεχνασμέναι ὥσπερ οἰκήματα τὰ μὲν διπλᾶ, τὰ δὲ τριπλᾶ. ταῦτα δὲ καὶ στεγνὰ πρὸς ὕδωρ καὶ πρὸς χιόνα καὶ πρὸς τὰ πνεύματα. τὰς δὲ ἁμάξας ἕλκουσι ζεύγεα τὰς μὲν δύο, τὰς δὲ τρία βοῶν κέρως ἄτερ. οὐ γὰρ ἔχουσι κέρατα ὑπὸ τοῦ ψύχεος. ἐν ταύτῃσι μὲν οὖν τῇσιν ἁμάξῃσιν ⟨αἱ⟩ γυναῖκες διαιτεῦνται. αὐτοὶ δ' ἐφ' ἵππων ὀχεῦνται [οἱ ἄνδρες]. ἕπονται δὲ αὐτοῖς καὶ τὰ πρόβατα ⟨τὰ⟩ ἐόντα καὶ αἱ βόες καὶ οἱ ἵπποι. μένουσι δ' ἐν τῷ αὐτῷ τοσοῦτον χρόνον,*

4 *ἰσχῦν* V 6 *ἑωυτοῖσιν* Zvinger *οὐδαμῶς* libri, *-οῖς* Wil. 8 *δ' ἀπὸ* vulg., *δὲ ἀπὸ* 𝔅 *ὑπὸ* pro *ἀπὸ* Heringa p. 52 10 *ψιλὴ* vulg., *ὑψηλὴ* V𝔅 13 *οὐ κατ'* pro *οὐκ ἔστιν* Wil. 14 *ἁμάξ.* V ubique 15 *πηλοῖς* V𝔅 *περιπεφραγμέναι εἰσὶ καὶ διατετειχισμέναι ὥ. οἰκ.* Wil. 17 *διπλᾶ* Cor., *ἁπλᾶ* libri *δὲ καὶ τριπλά* V *στεγνὰ* Hemsterhusius ad Aristoph. Plut. p. 369, *στενὰ* libri et b Ald., *σθενὰ* b Bas. 20 *ἄτερ* V *τοῦ* ante *ψύχ.* om. 𝔅 21 *αἱ* add. Cor., om. libri 22 *οἱ ἄνδρες* del. Cobet l. l. p. 70 23 *τὰ* add. Cor., om. libri, *πρ. ἐ.* ⟨*πλεῖστα* aut aliquid sim.⟩ Gomperz

ὅσον ἂν ἀποχρῇ αὐτοῖσι τοῖς κτήνεσιν ὁ χόρτος· ὁκόταν δὲ μηκέτι, ἐς ἑτέρην χώρην ἔρχονται. αὐτοὶ δ' ἐσθίουσι κρέα ἑφθὰ καὶ πίνουσι γάλα ἵππων. καὶ ἱππάκην τρώγουσι· τοῦτο δ' ἐστὶ | τυρὸς ἵππων. 70

19. Τὰ μὲν ἐς τὴν δίαιταν αὐτῶν οὕτως ἔχει καὶ τοὺς νόμους· περὶ δὲ τῶν ὡρέων καὶ τῆς μορφῆς, ὅτι πολὺ ἀπήλλακται τῶν λοιπῶν ἀνθρώπων τὸ Σκυθικὸν γένος καὶ ἔοικεν αὐτὸ ἑωυτῷ ὥσπερ τὸ Αἰγύπτιον καὶ ἥκιστα πολύγονόν ἐστι καὶ ἡ χώρη ἐλάχιστα θηρία τρέφει κατὰ μέγεθος καὶ πλῆθος. κεῖται γὰρ ὑπ' αὐτῇσι τῇσιν ἄρκτοις καὶ τοῖς ὄρεσι τοῖς Ῥιπαίοισιν, ὅθεν ὁ βορέης πνεῖ. ὅ τε ἥλιος τελευτῶν ἐγγύτατα γίνεται, ὁκόταν ἐπὶ τὰς θερινὰς ἔλθῃ περιόδους, καὶ τότε ὀλίγον χρόνον θερμαίνει καὶ οὐ σφόδρα· τὰ δὲ πνεύματα τὰ ἀπὸ τῶν θερμῶν πνέοντα ⟨οὐκ⟩ ἀφικνεῖται, ἢν μὴ ὀλιγάκις καὶ ἀσθενέα, ἀλλ' ἀπὸ τῶν ἄρκτων αἰεὶ πνέουσι πνεύματα ψυχρὰ ἀπό τε χιόνος καὶ κρυστάλλου καὶ ὑδάτων πολλῶν. οὐδέποτε δὲ τὰ ὄρεα ἐκλείπει· ἀπὸ τούτων δὲ δυσοίκητά ἐστιν. ἠήρ τε κατέχει πολὺς τῆς ἡμέρης τὰ πεδία, καὶ ἐν τού|τοισι διαιτεῦνται· ὥστε τὸν μὲν 72
χειμῶνα αἰεὶ εἶναι, τὸ δὲ θέρος ὀλίγας ἡμέρας καὶ 21
ταύτας μὴ λίην. μετέωρα γὰρ τὰ πεδία καὶ ψιλὰ καὶ οὐκ ἐστεφάνωται ὄρεσιν, ἀλλ' ἢ ἀνάντεα ἀπὸ τῶν ἄρκτων· αὐτόθι καὶ τὰ θηρία οὐ γίνεται μεγάλα, ἀλλ' οἷά τέ ἐστιν ὑπὸ γῆν σκεπάζεσθαι. ὁ γὰρ χειμὼν

3 κρέδεφθα V 4 ἱππάκην V 6 δὲ V, τε vulg. 9 πολυγόνον V 14 δὲ πνεύμ. Littr., διαπνεύματα vulg., δειπνεύματα V 15 οὐκ add. Littr. ex ms. lat. 7027 εἰ pro ἢν Wil. 16 Ἄρκτ. 𝔅 17 κρυστάλλων 𝔅 18 ὑπὸ pro ἀπὸ Cor. 19 δισικητά V τὸ πολὺ τ. ἡ. Wil. 20 Littr. ex ms. latino 7027 (*ipsis*) αὐτέοισι, inde Rhd. τούτοισι, νότοισι codd. 23 Rhd., ἐστεφάνωνται codd. ἀλλ' ἀνάντη (αὐτῇ pro ἀνάντη b) ὑπὸ τ. ἄ. vulg., ἀλλ' ἢ ἂν τῇ ἀπὸ τ. ἄ. 𝔅, ἀλλ' ἡ αὐτὴ ἀπὸ τ. ἄ. V 24 ἀλλ' ⟨ἃ⟩ Cob. Mnem. IX 79

κωλύει καὶ τῆς γῆς ἡ ψιλότης, ὅτι οὐκ ἔστιν ἀλέη οὐδὲ σκέπη. αἱ γὰρ μεταβολαὶ τῶν ὡρέων οὔκ εἰσι μεγάλαι οὐδὲ ἰσχυραί, ἀλλ᾽ ὁμοῖαι καὶ ὀλίγον μεταλλάσσουσαι· διότι καὶ τὰ εἴδεα ὁμοῖοι αὐτοὶ ἑωυτοῖς εἰσι σίτῳ τε χρεώμενοι αἰεὶ ὁμοίῳ ἐσθῆτί τε τῇ αὐτῇ καὶ θέρεος καὶ χειμῶνος τόν τε ἠέρα ὑδατεινὸν ἕλκοντες καὶ παχὺν τά τε ὕδατα πίνοντες ἀπὸ χιόνος καὶ παγετῶν τοῦ τε ταλαιπώρου ἀπεόντες. οὐ γὰρ οἷόν τε τὸ σῶμα ταλαιπωρεῖσθαι οὐδὲ τὴν ψυχήν, ὅκου μεταβολαὶ μὴ γίνονται ἰσχυραί. διὰ ταύτας τὰς ἀνάγκας τὰ εἴδεα αὐτῶν παχέα ἐστὶ καὶ σαρκώδεα καὶ ἄναρθρα καὶ ὑγρὰ καὶ ἄτονα, αἵ τε κοιλίαι ὑγρόταται πασέων κοιλιῶν αἱ κάτω. οὐ γὰρ οἷόν τε νηδὺν ἀναξηραίνεσθαι ἐν τοιαύτῃ χώρῃ καὶ φύσει καὶ ὥρης καταστάσει, ἀλλὰ διὰ πιμελήν τε καὶ ψιλὴν τὴν σάρκα τά [τε] εἴδεα ἔοικεν ἀλλήλοισι τά τε ἄρσενα τοῖς ἄρσεσι καὶ τὰ θήλεα τοῖς θήλεσι. τῶν γὰρ ὡρέων παραπλησίων ἐουσέων φθοραὶ οὐκ ἐγγίνονται οὐδὲ κακώσιες ἐν τῇ τοῦ γόνου συμπήξει, ἢν μή τινος ἀνάγκης βιαίου τύχῃ ἢ νούσου.

20. *Μέγα δὲ τεκμήριον ἐς τὴν ὑγρότητα παρέξομαι.*
74 *Σκυ|θέων γὰρ τοὺς πολλούς, μάλιστα ὅσοι Νομάδες, εὑρήσεις κεκαυμένους τούς τε ὤμους καὶ τοὺς βραχίονας καὶ τοὺς καρποὺς τῶν χειρῶν καὶ τὰ στήθεα ⟨καὶ τὰ⟩ ἰσχία καὶ τὴν ὀσφὺν δι᾽ ἄλλ᾽ οὐδὲν ἢ διὰ τὴν*

1 *καίτοι* 𝔅 vulg., *ὅτι* sine *καὶ* V *ἀλέα* V 2 *δὲ* pro *γὰρ* Wil. 3. 4 V, *μεταβάλλουσαι* 𝔅 vulg. 4 Cor., *ὅμοια αὐτὰ* V 𝔅 vulg. 5 *χρεόμενοι* 𝔅, *χρεόμεναι* V Cor., *ὁμοίως* codd. *τῇ τε* 𝔅 7 *παχῦν* V 8 Ed. Schneider in diss. Bonnensi a. 1885, p. 17, *ἀπεόντος* libri 12 Littr. ex ms. lat. (*inarticulata*), *ἄρθρα* codd. 16 *τ᾽ εἴδ.* V, *τε* del. Wil. 19 *τομοῦ* V 20 *τύχης* V 22 *μάλ.* 𝔅, cet. *ἅπαντας* 24 *στήτεα* 𝔅 *καὶ τὰ* ante *ἰσχία* om. codd., add. Cor. 25 *ὀσφῦν* V, *ὀσφὴν* 𝔅

ὑγρότητα τῆς φύσιος καὶ τὴν μαλακίην. οὐ γὰρ δύνανται οὔτε τοῖς τόξοις συντείνειν οὔτε τῷ ἀκοντίῳ ἐμπίπτειν τῷ ὤμῳ ὑπὸ ὑγρότητος καὶ ἀτονίης. ὁκόταν δὲ καυθέωσιν, ἀναξηραίνεται ἐκ τῶν ἄρθρων τὸ πολὺ τοῦ ὑγροῦ, καὶ ἐντονώτερα μᾶλλον γίνεται καὶ τροφιμώτερα καὶ ἠρθρωμένα τὰ σώματα μᾶλλον. ῥοϊκὰ δὲ γίνεται καὶ πλατέα, πρῶτον μὲν ὅτι οὐ σπαργανοῦνται ὥσπερ ἐν Αἰγύπτῳ οὐδὲ νομίζουσι διὰ τὴν ἱππασίην, ὅκως ἂν εὔεδροι ἔωσιν· ἔπειτα δὲ διὰ τὴν ἕδρην· τά τε γὰρ ἄρσενα, ἕως ἂν οὐχ οἷά τε ἐφ' ἵππου ὀχεῖσθαι, τὸ πολὺ τοῦ χρόνου κάθηνται ἐν τῇ ἁμάξῃ καὶ βραχὺ τῇ βαδίσει χρέονται διὰ τὰς μεταναστάσιας καὶ περιελάσιας· τὰ δὲ θήλεα θαυμαστὸν οἷον ῥοϊκά ἐστι καὶ βλαδέα τὰ εἴδεα. πυῤῥὸν δὲ τὸ γένος ἐστὶ τὸ Σκυθικὸν διὰ τὸ ψῦχος, οὐκ ἐπιγινομένου ὀξέος τοῦ ἡλίου. ὑπὸ δὲ τοῦ ψύχεος ἡ λευκότης ἐπικαίεται καὶ γίνεται πυῤῥή.

21. *Πολύγονον δὲ οὐχ οἷόν τε εἶναι φύσιν τοιαύτην. οὔτε γὰρ τῷ ἀνδρὶ ἡ ἐπιθυμίη τῆς μείξιος γίνεται πολλὴ διὰ τὴν ὑγρότητα τῆς φύσιος καὶ τῆς κοιλίης τὴν μαλθακότητά τε καὶ [τὴν] ψυχρότητα, ἀφ' ὅτων ἥκιστα εἰκὸς ἄνδρα οἷόν τε λαγνεύειν· καὶ ἔτι ὑπὸ | τῶν ἵππων αἰεὶ κοπτόμενοι ἀσθενέες γίνονται ἐς* 76 *τὴν μεῖξιν. τοῖσι μὲν ἀνδράσιν αὗται αἱ προφάσιες γίνονται, τῇσι δὲ γυναιξὶν ἥ τε πιότης τῆς σαρκὸς καὶ ὑγρότης· οὐ γὰρ δύνανται ἔτι συναρπάζειν αἱ μῆτραι τὸν γόνον· οὔτε γὰρ ἐπιμήνιος κάθαρσις αὐτῇσι γίνεται*

7 *βλαδέα* pro *πλατέα* Wil. 9 V b, *ἔνεδροι* vulg. *ἐῶσιν* V 11 b Rhd., *κάθηται* cet. 13 *τά τε θήλ.* b 13 *ἐστι* Cor. 2 Erm., *εἶναι* codd. *καὶ βλαδέα* om. V vulg., *καὶ βραδέα* 𝔅b, unde Cor. *κ. βλαδέα* 15 V, *ἐπιγεν. ὀξέως* 𝔅 vulg. 20 *τὴν* ante *ψυχρ.* del. Rhd. *ἀφ' ὅτων* b Cor., *ἀπὸ τῶν* codd. 21 *εἰκὸς εἶναι ἄ. οἷον τε λ.* codd. et vulg., *εἶναι* om. b *οἷόν τε* del. Wil.

ὡς χρεών ἐστιν, ἀλλ' ὀλίγον καὶ διὰ χρόνου, τό τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς συγκλείεται καὶ οὐχ ὑποδέχεται τὸν γόνον· αὐταί τε ἀταλαίπωροι καὶ πίεραι καὶ αἱ κοιλίαι ψυχραὶ καὶ μαλθακαί. [καὶ] ὑπὸ τούτων τῶν ἀναγκέων οὐ πολύγονόν ἐστι τὸ γένος τὸ Σκυθικόν. μέγα δὲ τεκμήριον αἱ οἰκέτιδες ποιέουσιν· οὐ γὰρ φθάνουσι παρὰ ἄνδρα ἀφικνεύμεναι καὶ ἐν γαστρὶ ἴσχουσιν διὰ τὴν ταλαιπωρίην καὶ ἰσχνότητα τῆς σαρκός.

22. *Ἔτι τε πρὸς τούτοισιν εὐνουχίαι γίνονται οἱ πλεῖστοι ἐν Σκύθῃσι καὶ γυναικεῖα ἐργάζονται καὶ ὡς αἱ γυναῖκες ⟨διαιτεῦνται⟩ διαλέγονταί τε ὁμοίως· καλεῦνταί [τε] οἱ τοιοῦτοι Ἀναριεῖς. οἱ μὲν οὖν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι θεῷ καὶ σέβονται τούτους τοὺς ἀνθρώπους καὶ προσκυνέουσι, δεδοικότες περὶ ἑωυτῶν ἕκαστοι. ἐμοὶ δὲ καὶ αὐτῷ δοκεῖ ταῦτα τὰ πάθεα θεῖα εἶναι καὶ τἆλλα πάντα καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον* 78 *οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάν|τα ὁμοῖα καὶ πάντα θεῖα. ἕκαστον δὲ αὐτῶν ἔχει φύσιν τὴν ἑωυτοῦ καὶ οὐδὲν ἄνευ φύσιος γίνεται. καὶ τοῦτο τὸ πάθος ὥς μοι δοκεῖ γίνεσθαι φράσω· ὑπὸ τῆς ἱππασίης αὐτοὺς κέδματα λαμβάνει, ἅτε αἰεὶ κρεμαμένων ἀπὸ τῶν ἵππων τοῖς ποσίν· ἔπειτα ἀποχωλοῦνται καὶ ἑλκοῦνται τὰ ἰσχία, οἳ ἂν σφόδρα νοσήσωσιν. ἰῶνται δὲ σφᾶς αὐτοὺς*

3 *αὗταί* codd. 4 *καὶ* del. Wil. 5 𝔅, *ἀναγκαίων* cet. codd. et vulg. 6 *μετὰ* V (comma post *δὲ*) b *ποιέουσιν* del. Wil. 8 *ἴσχουσαι* V 10 *ὡς* om. V 12 *τε* post *καλ.* del. Wil. *Ἀν.* Gomperz Wien. Sitzungsber. 1883 (tom. 103) p. 174, *ἀνδριεῖς* V, *ἀνανδριεῖς* 𝔅 vulg., *ἀναρδρεῆς* b ante *διαλέγ.* (v. 11) add. *διαιτεῦνται* Gomp. ibid. *οὖν* om. 𝔅 13 *σέμονταί τε τούτ.* V 14 *περί τε ὠντέων* V 𝔅 vulg. 17 𝔅 b, *ὁμοῖα καὶ πάντα* om. cet. codd. et vulg. 18 *αὐτέων* b, om. cet. *τὴν ἑαυτοῦ* de Wilamowitz, Philol. Unters. IX 103, *τῶν τοιουτέων* codd. et vulg. 20 *αὐτέης* 𝔅 21 *καταλαμβ.* b 22 *ἑλκοῦνται* Mercurialis, Erm., *ἑλκοῦσιν* b, *ἕλκονται* cet. 23 *ὅταν* pro *οἳ ἂν* b *ἑαυτοὺς* b

τρόπῳ τοιῷδε. ὁκόταν γὰρ ἄρχηται ἡ νοῦσος, ὄπισθεν τοῦ ὠτὸς ἑκατέρου φλέβα τάμνουσιν. ὁκόταν δὲ ἀπορρυῇ τὸ αἷμα, ὕπνος ὑπολαμβάνει ὑπὸ ἀσθενείης καὶ καθεύδουσιν. ἔπειτα ἀνεγείρονται, οἱ μέν τινες ὑγιέες ἐόντες, οἱ δ' οὔ. ἐμοὶ μὲν οὖν δοκεῖ ἐν ταύτῃ τῇ ἰήσει διαφθείρεσθαι ὁ γόνος. εἰσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἐάν τις ἐπιτάμῃ, ἄγονοι γίνονται οἱ ἐπιτμηθέντες. ταύτας τοίνυν μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. οἱ δὲ μετὰ ταῦτα ἐπειδὰν ἀφίκωνται παρὰ γυναῖκας καὶ μὴ οἷοί τ' ἔωσι χρῆσθαί σφισιν [αὐταῖς], τὸ πρῶτον οὐκ ἐνθυμεῦνται, ἀλλ' ἡσυχίην ἔχουσι. ὁκόταν δὲ δὶς καὶ τρὶς καὶ πλεονάκις αὐτοῖσι πειρωμένοισι μηδὲν ἀλλοιότερον ἀποβαίνῃ, νομίσαντές τι ἡμαρτηκέναι τῷ θεῷ, ὃν ἐπαιτιῶνται, ἐνδύονται στολὴν γυναικείην καταγνόντες ἑωυτῶν ἀνανδρείην. γυναικίζουσί τε καὶ ἐργάζονται μετὰ τῶν γυναικῶν ἃ καὶ ἐκεῖναι.

Τοῦτο δὲ πάσχουσι Σκυθέων [οἱ πλούσιοι,] οὐχ οἱ κά|κιστοι, ἀλλ' οἱ εὐγενέστατοι καὶ ἰσχὺν πλείστην 80 κεκτημένοι διὰ τὴν ἱππασίην, οἱ δὲ πένητες ἧσσον· οὐ γὰρ ἱππάζονται. καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσευμα τῶν λοιπῶν ἐστιν, οὐ τοῖς γενναιοτάτοις τῶν Σκυθέων καὶ τοῖς πλουσιωτάτοις προσπίπτειν μούνοις, ἀλλὰ τοῖς ἅπασιν ὁμοίως, καὶ μᾶλλον τοῖσιν ὀλίγα κεκτημένοισιν, εἰ δὴ τιμώμενοι χαίρουσιν οἱ θεοὶ

1 γὰρ add. b, om. cet. 2 b, ἑκάτερα V, ἑκατέραν 𝔅 vulg. 4 b, ἀναγείρονται cet. codd. 5 δοκέουσι b 6 ὁ γόνος add. 𝔅 b, om. cet. codd. et vulg. 10 Calvus, Cornar., Cor., Littr. (*mulieres* 7027), γυναῖκα codd. τεῶσι V αὐταῖς add. codd. et vulg., del. Cor. 12 καὶ ante πλεονάκις om. V 13 ἀποβαίνῃ V, ἀποβαίνει cet. codd. et vulg. 15 ante ἑωυτῶν add. σφῶν b 18 ἰσχῦν V 17 οἱ πλ. del. Cob. Mnem. IX 70 20 εἴπερ pro ἐπεὶ Cob. l. l. p. 80 22 Σκυτέων 𝔅 23 τοῖσί τε ὀλ. b 24 οὐ τιμωμένοισιν ἤδη εἰ χαίρ. codd. et vulg., ἢ pro οὐ b, εἰ δὴ τιμώμενοι χαίρ. Cor.

καὶ θαυμαζόμενοι ὑπ' ἀνθρώπων καὶ ἀντὶ τούτων χάριτας ἀποδιδόασιν. εἰκὸς γὰρ τοὺς μὲν πλουσίους θύειν πολλὰ τοῖς θεοῖς καὶ ἀνατιθέναι ἀναθήματα ἐόντων χρημάτων πολλῶν καὶ τιμᾶν, τοὺς δὲ πένητας ἧσσον διὰ τὸ μὴ ἔχειν, ἔπειτα καὶ ἐπιμεμφομένους, ὅτι οὐ διδόασι χρήματα αὐτοῖσιν, ὥστε τῶν τοιούτων ἁμαρτιῶν τὰς ζημίας τοὺς ὀλίγα κεκτημένους φέρειν μᾶλλον ἢ τοὺς πλουσίους. ἀλλὰ γάρ, ὥσπερ καὶ πρότερον ἔλεξα, θεῖα μὲν καὶ ταῦτά ἐστιν ὁμοίως τοῖς ἄλλοις· γίνεται δὲ κατὰ φύσιν ἕκαστα. καὶ ἡ τοιαύτη νοῦσος ἀπὸ τοιαύτης προφάσιος τοῖς Σκύθῃσι γίνεται οἵην εἴρηκα. ἔχει δὲ καὶ κατὰ τοὺς λοιποὺς ἀνθρώπους ὁμοίως. ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ πυκνότατα, ἐκεῖ πλεῖστοι ὑπὸ κεδμάτων καὶ ἰσχιάδων καὶ ποδαγριῶν ἁλίσκονται καὶ λαγνεύειν κάκιστοί εἰσι. ταῦτα δὲ τοῖσι [τε] Σκύθῃσι πρόσεστι, καὶ εὐνουχοειδέστατοί
82 *εἴσιν ἀνθρώπων διὰ ταύτας ⟨τε⟩ τὰς προφάσιας καὶ | ὅτι ἀναξυρίδας ἔχουσιν αἰεὶ καί εἰσιν ἐπὶ τῶν ἵππων τὸ πλεῖστον τοῦ χρόνου, ὥστε μήτε χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου ὑπό τε τοῦ ψύχεος καὶ τοῦ κόπου ἐπιλήθεσθαι τοῦ ἱμέρου καὶ τῆς μείξιος καὶ μηδὲν παρακινεῖν πρότερον ἢ ἀνανδρωθῆναι.*

23. *Περὶ μὲν οὖν τῶν Σκυθέων οὕτως ἔχει τοῦ γένεος. τὸ δὲ λοιπὸν γένος τὸ ἐν τῇ Εὐρώπῃ διάφορον αὐτὸ ἑωυτῷ ἐστι καὶ κατὰ τὸ μέγεθος καὶ κατὰ τὰς μορφὰς διὰ τὰς μεταλλαγὰς τῶν ὡρέων, ὅτι με-*

4 *χρημάτων πολλῶν καὶ τιμῶν, τοὺς* b, *χρημάτων, καὶ τιμᾶν, τοὺς* caet. 9 *γίγνεσθαι* V 14 *κελμάτων* V 15 *καὶ* V, om. 𝔅 vulg. 16 *τοῖσίδε* V, *τοῖσί τε* 𝔅, *τοῖσι Σκ.* Cor. 2 *σκύθῃ, σι* V 17 *ταύτας τὰς* 𝔅, *ταύτας* om. cet. codd. et vulg. *τε* add. Wil. 18 *ἀναξηρίδας* V 20 Cor., *ἐπιλαθέσθαι* libri 22 *ἀνανδρ.* Par. E, *ἀνδρωθῆναι* V𝔅 23 *τῶν* om. 𝔅 25 *ἑωυτοῦ* b

γάλαι γίνονται καὶ πυκναί, καὶ θάλπεά τε ἰσχυρὰ καὶ χειμῶνες καρτεροὶ καὶ ὄμβροι πολλοὶ καὶ αὖτις αὐχμοὶ πολυχρόνιοι καὶ πνεύματα, ἐξ ὧν μεταβολαὶ πολλαὶ καὶ παντοδαπαί. | ἀπὸ τούτων εἰκὸς [αἰσθάνεσθαι] καὶ 84 *τὴν γένεσιν ἐν τῇ συμπήξει τοῦ γόνου ⟨ἄλλοτε⟩ ἄλλην καὶ μὴ τῷ αὐτῷ τὴν αὐτὴν γίνεσθαι ἔν τε τῷ θέρει καὶ τῷ χειμῶνι μηδὲ ἐν ἐπομβρίῃ καὶ αὐχμῷ. διότι τὰ εἴδεα διηλλάχθαι νομίζω τῶν Εὐρωπαίων μᾶλλον ἢ τῶν Ἀσιηνῶν καὶ τὰ μεγέθεα διαφορώτατα αὐτὰ ἑωυτοῖς εἶναι κατὰ πόλιν ἑκάστην. αἱ γὰρ φθοραὶ πλείονες ἐγγίνονται τοῦ γόνου ἐν τῇ συμπήξει ἐν τῇσι μεταλλαγῇσι τῶν ὡρέων πυκνῇσιν ἐούσῃσιν ἢ ἐν τῇσι παραπλησίῃσι καὶ ὁμοίῃσι. περί τε τῶν ἠθέων ὁ αὐτὸς λόγος· τό τε ἄγριον καὶ τὸ ἄμεικτον καὶ τὸ θυμοειδὲς ἐν τῇ τοιαύτῃ φύσει ἐγγίνεται. αἱ γὰρ ἐκπλήξιες πυκναὶ γινόμεναι τῆς γνώμης τὴν ἀγριότητα ἐντιθέασι, τὸ δὲ ἥμερόν τε καὶ ἤπιον ἀμαυροῦσι. διὸ καὶ εὐψυχοτέρους νομίζω τοὺς τὴν Εὐρώπην οἰκέοντας εἶναι ἢ τοὺς τὴν Ἀσίην. ἐν μὲν γὰρ τῷ αἰεὶ παραπλησίῳ αἱ ῥαθυμίαι ἔνεισιν, ἐν δὲ τῷ μεταβαλλομένῳ αἱ ταλαιπωρίαι τῷ σώματι καὶ τῇ ψυχῇ. καὶ ἀπὸ μὲν ἡσυχίης καὶ ῥαθυμίης ἡ δειλίη αὔξεται, ἀπὸ δὲ τῆς ταλαιπω-*

1 *τις* pro *τε* b 2 V, caet. *αὖθις* 3 post *μεταβ.* add. *γίνονται* b 4 *αἴσθ.* huc illatum a p. 51, 2 delevi, *συνίστασθαι* Wil., [*ἀπὸ*] *τ. ε. αἴσθ. κ. τ. γ. ἐ. τ. σ. τ. γ.* ⟨*καὶ ἄλλοτε*⟩ *ἄ.* Cor. 5 *τόνου* V, *ἐμπήξει τῆς γονῆς* b 6 *ἢ τοῦτο ἐν τῇ αὐτῇ* pro *καὶ — αὐτὴν* b *μηδὲ* pro *μὴ* Wil. *τὴν* (vulg.) om. V𝔅 7 *μηδὲ — αὐχμῷ* inclus. b, *μηδὲν ἐν ἐπομβρῇ* V 8 *διηλλάχθη* codd., -*χθαι* Zving. i. m. 9 *διαφορώτερα* b 10 *μορφαὶ* b, *διαφοραὶ* Litt. in adnot. pro *φθοραὶ* 11 *τόνου* V, *τῆς γαίης* pro *τοῦ γόν.* b 13 *ὁμοίῃσι* V, *ὁμοίοισιν* 𝔅 vulg. 14 *ἄμικτον* 𝔅 b, *ἀμίαντον* V vulg. 17 *ἀμαυρῶσιν* b *διὸ καὶ* b, *καὶ ὅτι* V𝔅 18 *εὐψυχροτ.* V *τὴν* add. V𝔅, om. vulg. 19 *παραπλησίως* codd. et vulg., *ὁμοίως* b

ρίης καὶ τῶν πόνων αἱ ἀνδρεῖαι. διὰ τοῦτό εἰσι μαχιμώτεροι οἱ τὴν Εὐρώπην οἰκέοντες καὶ διὰ τοὺς νόμους, ὅτι οὐ βασιλεύονται ὥσπερ οἱ Ἀσιηνοί. ὅκου γὰρ βασιλεύονται, ἐκεῖ ἀνάγκη δειλοτάτους εἶναι. εἴρηται δέ μοι καὶ πρότερον. αἱ γὰρ ψυχαὶ δεδούλωνται
86 καὶ οὐ βούλονται παρα|κινδυνεύειν ἑκόντες εἰκῇ ὑπὲρ ἀλλοτρίης δυνάμιος. οἱ δὲ αὐτόνομοι — ὑπὲρ ἑωυτῶν γὰρ τοὺς κινδύνους αἱρεῦνται καὶ οὐκ ἄλλων — προθυμεῦνται ἑκόντες καὶ ἐς τὸ δεινὸν ἔρχονται. τὰ γὰρ ἀριστεῖα τῆς νίκης αὐτοὶ φέρονται. οὕτως οἱ νόμοι οὐχ ἥκιστα τὴν εὐψυχίην ἐργάζονται.

24. Τὸ μὲν οὖν ὅλον καὶ τὸ ἅπαν οὕτως ἔχει περί τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίης. ἔνεισι δὲ καὶ ἐν τῇ Εὐρώπῃ φῦλα διάφορα ἕτερα ἑτέροισι καὶ τὰ μεγέθεα καὶ τὰς μορφὰς καὶ τὰς ἀνδρείας. τὰ δὲ διαλλάσσοντα ταὐτά ἐστιν, ἃ καὶ ἐπὶ τῶν πρότερον εἴρηται. ἔτι δὲ σαφέστερον φράσω. ὁκόσοι μὲν χώρην ὀρεινήν τε οἰκέουσι καὶ τρηχεῖαν καὶ ὑψηλὴν καὶ εὔυδρον, καὶ αἱ μεταβολαὶ αὐτοῖσι γίνονται τῶν ὡρέων μέγα διάφοροι, ἐνταῦθα εἰκὸς εἴδεα μεγάλα εἶναι καὶ πρὸς τὸ ταλαίπωρον καὶ τὸ ἀνδρεῖον εὖ πεφυκότα, καὶ τό τε ἄγριον καὶ τὸ θηριῶδες αἱ τοιαῦται φύσιες οὐχ ἥκιστα ἔχουσιν. ὁκόσοι δὲ κοῖλα χωρία καὶ λειμακώδεα καὶ πνιγηρὰ καὶ τῶν θερμῶν πνευμάτων πλέον μέρος μετέχουσιν ἢ τῶν
88 ψυχρῶν| ὕδασί τε χρέονται θερμοῖσιν, οὗτοι δὲ μεγάλοι

3 σημ. βασιλευομένοις i. m. V 7 οἱ δὲ b, οὗτοι δὲ cet. codd. et vulg. 10 ante τῆς add. ἔρια b (ἔργα?) 13 φύλα V 15 ταῦτά ἐστ. 𝔅 vulg., ταῦτ᾽ ἐστὶν V 16 τῷ προτέρῳ b φράσω 𝔅 b, φράζω V vulg. 17 καὶ add. Gal. (tom. II ed. Iw. Mueller, p. 60), Cor., Littr. (ex ms. lat. 7027), om. codd. et vulg. 18 εὔυδρον V, ἔννδρον 𝔅 vulg., ἄνυδρον (εὖ suprascr.) b 21 γε b, caet. τε 23 λιμακ. b 24 ἢ om. V𝔅, non om. vulg., Gal. l. l.

μὲν οὐκ ἂν εἴησαν οὐδὲ κανονίαι, ἐς εὖρος δὲ πεφυκότες καὶ σαρκώδεες καὶ μελανότριχες, καὶ αὐτοὶ μέλανες μᾶλλον ἢ λευκότεροι, φλεγματίαι δὲ ἧσσον ἢ χολώδεες· τὸ δὲ ἀνδρεῖον καὶ τὸ ταλαίπωρον ἐν τῇ ψυχῇ φύσει μὲν οὐκ ἂν ὁμοίως ἐνείη, νόμος δὲ προσγενόμενος ἀπεργάζοιτ' ἄν. καὶ εἰ μὲν ποταμοὶ ἐνείησαν ἐν τῇ χώρῃ, οἵτινες ἐκ τῆς χώρης ἐξοχετεύουσι τό τε στάσιμον καὶ τὸ ὄμβριον, οὗτοι ἂν ὑγιηροί τε εἴησαν καὶ λαμπροί. εἰ μέντοι ποταμοὶ μὲν μὴ εἴησαν, τὰ δὲ ὕδατα λιμναῖά τε καὶ στάσιμα πίνοιεν καὶ ἑλώδεα, ἀνάγκη τὰ τοιαῦτα εἴδεα προγαστρότερα καὶ σπληνώδεα εἶναι. | ὁκόσοι δὲ ὑψηλήν τε οἰκέουσι χώρην καὶ 90 *λείην καὶ ἀνεμώδεα καὶ εὔυδρον, εἶεν ἂν εἴδεα μεγάλοι καὶ ἑωυτοῖσι παραπλήσιοι· ἀνανδρότεραι δὲ καὶ ἡμερώτεραι αἱ γνῶμαι. ὁκόσοι δὲ λεπτά τε καὶ ἄνυδρα καὶ ψιλά, τῇσι μεταβολῇσι τῶν ὡρέων οὐκ εὔκρητα, ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκὸς [τε] σκληρά τε εἶναι καὶ ἔντονα καὶ ξανθότερα ἢ μελάντερα καὶ τὰ ἤθεα καὶ*

1 *οὐδ' εὐμήκεες, εὐρέες δὲ* b 4 *δὲ* Gal. l. l. et Cor., libri *τε* *τὸ* ante *ταλ.* add. Gal. et Cor., om. V𝔅 5 *ἔχοιεν* pro *ἐνείη* b 6 *ὑπεργάσεται νόμον* b, Mercur. i. m. (= Gal. ed. Basil. tom. I, p. 348/9), *ἀπεργάσοιτ'* codd. post *ἂν* add.: *ὡσι τοῦ εἴδεος οὐχ ὑπάρχοντος* b (cod. lat. 7027: *sicut speciem constitutam*) 8 *ὑγιηρότεροι* b Ald. 10 *λιμναῖα* unus 𝔅, cet. *κρηναῖα* *ἑλώδεα* 𝔅b Ald., *ἐδώδεα* V, *ὀδώδεα* (ε suprascr.) b Bas. 11 *τὰ τοιαῦτα πρὸς γαστρὸς ἄτεα εἶναι καὶ σπλήνεα* V, *τὰ τοιάδε* (*τοιαῦτα* b) *εἴδεα προγαστρότερα καὶ σπληνώδεα εἶναι* 𝔅b 13 *εὔυδρον* V, *ἔνυδρ.* caet. *εἴη .. μεγάλα .. παραπλήσια* codd. et vulg., *εἶεν .. μεγάλοι .. παραπλήσιοι* Gal. tom. II ed. Iw. Mueller p. 61, *καὶ εὔυδρ. — μεγάλ.* om. b 14 𝔅b, *καὶ ἀνορθότερα· καὶ ἠπιώτεραι αἱ γν.* cet. codd. et vulg. 15 *γνῶμαι* in ras. V *δὲ* om. V𝔅 vulg., *ὅσοι δὲ τελέτεραι* b 16 *ταῖς δὲ μεταβολαῖς* codd. et vulg., *τῇσι* (*δὲ* om.) *μ.* Gal. *οὐκ εὔκρατα* 𝔅b, *οὐ κέκρηνται* cet. codd. et vulg. 17 *τε* post *εἰκὸς* del. Cor. *τε* post *σκληρά* om. V 18 *εὔτονα* b *μελανότερα εἶναι* b

τὰς ὀργὰς αὐθάδεάς τε καὶ ἰδιογνώμονας. ὅκου γὰρ αἱ μεταβολαί εἰσι πυκνόταται τῶν ὡρέων καὶ πλεῖστον διάφοροι αὐταὶ ἑωυτῇσιν, ἐκεῖ καὶ τὰ εἴδεα καὶ τὰ ἤθεα καὶ τὰς φύσιας εὑρήσεις πλεῖστον διαφερούσας.

Μέγισται μὲν οὖν εἰσιν αὗται τῆς φύσιος αἱ διαλλαγαί, ἔπειτα δὲ καὶ ἡ χώρη, ἐν ᾗ ἄν τις τρέφηται καὶ τὰ ὕδατα. εὑρήσεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ φύσει ἀκολουθέοντα καὶ τὰ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους. ὅκου μὲν γὰρ ἡ γῆ πίειρα καὶ μαλθακὴ καὶ εὔυδρος καὶ τὰ ὕδατα κάρτα μετέωρα, ὥστε θερμὰ εἶναι τοῦ θέρεος καὶ τοῦ χειμῶνος ψυχρά, καὶ τῶν ὡρέων καλῶς κεῖται, ἐνταῦθα καὶ οἱ ἄνθρωποι σαρκώδεές εἰσι καὶ ἄναρθροι καὶ ὑγροὶ καὶ ἀταλαί-
92 *πωροι καὶ τὴν ψυχὴν κακοὶ ὡς ἐπὶ τὸ πολύ. τό τε ῥᾴθυμον καὶ τὸ ὑπνηρὸν ἔνεστιν ἐν αὐτοῖς ἰδεῖν· ἔς τε τὰς τέχνας παχέες καὶ οὐ λεπτοὶ οὐδ᾽ ὀξέες. ὅκου δ᾽ [ἐστὶν] ἡ χώρη ψιλή τε καὶ ἄνυδρος καὶ τρηχεῖα καὶ ὑπὸ τοῦ χειμῶνος πιεξευμένη καὶ ὑπὸ τοῦ ἡλίου κεκαυμένη, ἐνταῦθα δὲ σκληρούς τε καὶ ἰσχνοὺς καὶ διηρθρωμένους καὶ ἐντόνους καὶ δασέας τό τε ἐργατικὸν*

2 *αἱ* add. 𝔅, om. V vulg. 3 *αὐταῖς φησιν* (i. e. *σφίσιν*) *αὐτῇσιν* b, *αὗται ἑωυτέοισιν* (-*σι* 𝔅) cet. codd. et vulg. 5 *αἱ* V, om. 𝔅 vulg. 6 *ἄν τις τρέφεται* 𝔅 vulg., *ἀντιστρέφεται* V, *τρέφηται* Cor. 8 Gal. l. l. p. 61, *τὰ* om. codd. et vulg. 9 𝔅, *πικρὰ* b, *πιθηρὰ* cet. codd. et vulg. 10 *εὔυδρος* V, *ἔνυδρ.* 𝔅 vulg. post *μετέωρα* add. *ἔχουσα* b et Gal. tom. IV, p. 802 Kuehn 11 *τοῦ* ante *χειμ.* om. codd. et vulg., recepit Cor. ex Gal. II, p. 61 Mueller 12 *κακῶς* b 14 *κακὴν* 𝔅 *ὥστε* pro *ὡς* b *ὡς ἐπὶ τόπον* V𝔅 15 *ὑπνηλὸν* b Gal. l. l. p. 62 *ἔνεστιν* b Gal. l. l., *ἔστιν* codd. et vulg. *αὐτέοισιν* 𝔅 Ald. vulg., *αὐτέοις* V, *αὐτοῖς ἰδεῖν* b Gal. IV, p. 802 Kuehn 16 *καὶ* ante *οὐ* om. 𝔅 17 *ἐστὶν* del. Wil. Erm. (*inaquosa* 7027), *ἀνώχυρος* codd. et vulg. *χίονι* add. b 19 *ἰσχυροὺς* b 20 *εὐτόνους* (= Gal.) *καὶ δασεεῖς ἴδοις* b *ἐργαστικὸν* b post *ἐργ.* add. *ὀξὺ* vulg. et codd. omnes praeter 𝔅

ἐνεὸν ἐν τῇ φύσει τῇ τοιαύτῃ καὶ τὸ ἄγρυπνον τά τε ἤθεα καὶ τὰς ὀργὰς αὐθάδεας καὶ ἰδιογνώμονας τοῦ τε ἀγρίου μᾶλλον μετέχοντας ἢ τοῦ ἡμέρου ἔς τε τὰς τέχνας ὀξυτέρους τε καὶ συνετωτέρους καὶ τὰ πολέμια ἀμείνους εὑρήσεις· καὶ τἄλλα τὰ ἐν τῇ γῇ φυόμενα πάντα ἀκόλουθα ἐόντα τῇ γῇ. αἱ μὲν ἐναντιώταται φύσιές τε καὶ ἰδέαι ἔχουσιν οὕτως. ἀπὸ δὲ τούτων τεκμαιρόμενος τὰ λοιπὰ ἐνθυμεῖσθαι, καὶ οὐχ ἁμαρτήσῃ.

1 ἐνεὸν b Gal., ἔνθεν codd. et vulg. τῇ ante τοιαύτῃ om. 𝔅
2 αὐθαδίας V𝔅 6 post μὲν add. οὖν Cor.

PROGNOSTICON SIVE LIBER PRAENOTIONUM.

In prognostico recognoscendo maxime confisus sum cod. Parisino 446 Suppl. (C′), quem cum iam Littraeus adhibuisset, iterum ipse cum Littraei editione contuli. V(aticanum 276), cuius memoriam exscripsit Ilbergius, et M(arcianum 269), alterius familiae capita[1]), aetate aliquanto superat. Est enim saeculi X, membranaceus, foliorum 261 (250 × 170^{mm}), quorum priora sexaginta sex mutila sunt. Scriptura ab initio continua inde a folio 35 in binas columnas divisa est. Lineae numerantur in singulis paginis trecenae quinae. In folio primo legitur: 'Nr XII (R B 12, 2234) 1838[2]) — Augustissimae Bibliothecae Caesareae Vindobonensis Nr. 10' —, et infra: 'Augerius de Busbecke comparavit Constantinopoli'.

Insunt in codice miscellaneo haec: Galeni therapeuticorum ad Glauconem libri II (fol. 1), — De febri (fol. 31^v) — De pulsu (fol. 33^v) — Remedia pro morbis oculorum (fol. 35^v) — Remedia varia (fol. 38^v) — Organum astronomicum, epistola Petrosiris ad Nechepso regem Assyriorum (fol. 43^v) — Hippocratis

1) Cf. Herm. XXV 114.

2) 'Acheté le 5 juin 1838 du libraire Techener. — Rel. au chiffre du roi Louis-Philippe.' Sic litteris nuper me benigne docuit H. Omont Parisinus. — Cf. praeterea Herm. XXV 117 adn. 1 ab Ilbergio mihi suppeditatam.

aphorismi (fol. 45) — Prognosticon (fol. 60) — Epistola ad Ptolemaeum regem (fol. 69v) — Galeni definitiones medicae (fol. 70) — De optimis secundum naturam urinis (fol. 91) — De urinarum differentia (fol. 92) — De pulsibus ad eos, qui introducuntur (fol. 95) — Stephani Atheniensis archiatri libellus ex ore Theophili de febrium differentia (fol. 107) — Pauli Aeginetae de re medica liber VI (fol. 114) — Leonis philosophi compendium artis medicae (fol. 146) — Eclogae ex Oribasio (fol. 168).

Litterae *ο ω, ε ει, ι η, υ οι* in eo codice persaepe inter se confunduntur, *λ* interdum praeter consuetudinem duplicatur (*σκέλλεα, ποικίλλα*), accentus saepe permutantur, cuius generis errores in commentario critico non ubique notavi. Manus correctrices animadvertuntur duae: C'^2 colore fere eodem quo principalis, C'^3 gracilior et atro colore.

Titulos partim in margine codicum partim in ipsa scriptura continua singulis capitibus adscriptos, velut c. 2 *περὶ σημείων θανάτου*, cum a librariis illati sint, omnes omisi eoque maiore confidentia silentio transii, quod in antiquissimo codice lineis traductis ad unum omnes deleti sunt.

Sequitur, ut de mira quadam perturbatione dicam, qua in cod. C′ extremum caput 2 contaminatum invenitur. Desunt enim verba *ἢν δὲ καμπύλον — ἔκλευκα γινόμενα.* Sententiarum vero omissarum locum obtinet fragmentum a prognosticis prorsus alienum cum titulo *Ἱπποκράτους ὅρκος* suppositum. Quod iusiurandum medicum mendis lacunisque misere foedatum emendavi auxilio Laurentiani 74, 3 (L) membr.

saec. XI, unde eadem fere *διὰ στίχων* disposita olim exscripsit Fr. R. Dietz Regimontanus, cuius schedas e bibliotheca Regimontana comiter mihi missas abhinc annos fere duodeviginti inspexi. Sed verba ipsa, ut conformata a Wilamowitzio nuper mihi redierunt, typis sic describenda curavi:

Αὐτὸν ἐν ἀχράντοισι μέγαν θεὸν αἰὲν ἐόντα [ὄμνυμι]·
οὔτε τινὰ ξείνων δηλήσομαι ἀνέρα νούσῳ
οὔτε τιν' ἐνδήμων ὀλοφώια ἔργα τελείων,
οὔτε τις ἂν δώροις με παραιβασίην ἀλεγεινὴν
ἐκτελέειν πείσειε καὶ ἀνέρι φάρμακα δοῦναι
λυγρά, τάπερ κακότητα θυμοφθόρον οἶδεν ὀπάζειν,
ἀλλ' ὁσίας μὲν χεῖρας ἐς αἰθέρα λαμπρὸν ἀείρων
καὶ κακίης ἀμόλυντον ἔχων κατὰ πάντα λογισμὸν
μήσομαι ἔρδειν κεῖνα τάπερ σόον ἀνέρα θήσει
πορσύνων πάντεσσι φίλην βιόδωρον ὑγείην.

Idem iusiurandum, nonnullis tamen versibus discrepans, uno versu post *ὀπάζειν* auctum, ordine verborum ultimorum integriore edidit Bussemaker in poetarum bucolicorum et didacticorum collectione ab Ameisio, Lehrsio al. instituta p. 90, id quod Ilbergius me monuit.

Quod in verbis fragmento ex cod. C′ expulsis post *ἦν δὲ καμπύλον* exclusi *ἢ ῥικνὸν* caeteris codicibus traditum, Littraeum secutus sum, qui II 118 haec dicit: 'J'ai supprimé ces mots malgré le scholiaste qui les commente p. 95. Galien dit: „Dans la plupart des exemplaires la phrase commence par *ἦν δὲ καμπύλον*, mais quelques-uns au lieu de *καμπύλον* ont *ῥικνόν*". Cette observation montre, que *καμπύλον* et *ῥικνὸν* ne

coexistaient pas et que l'un était une variante de l'autre suivant les exemplaires.'

Restat, ut de aliis locis quibusdam pauca praecipiam aut quae antea de eis in lucem protuli, huc colligam.

c. 1. Verba *ἅμα τε καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι* omnibus libris tradita quantae semper offensioni fuerint, altius repetere longum est. Ermerinsio quidem hac aetate exoptato fuerunt argumento, quo totum libellum inter Hippocratis opera egregie cultum primus medico Coo abrogaret, neque deerant, quibus eo ipso argumento rem novam facile probaret (cf. Haeser, Gesch. d. Med. I 121). Quid? Totum librum in suspicionem vocare quam membrum leviter adiectum resecare malint? Si modo in hac causa utrum Hippocratis ipsius sit necne quaerere tantum refert. Sive est Hippocratis sive alius, prorsus abhorrent haec a doctrina hoc libello explicata, ubi ne vocula quidem divinum illud olet, praeter haec verba, quae quam leviter sint interposita, in promptu manifestumque est, praesertim cum in extremo libro, ubi ex initio praecepta repetuntur, de divino nihil sit.

In extremo cap. 6 vulgo haec adduntur: *καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι τοῖσι περὶ τὴν* (*τὴν* om. C′) *κεφαλήν· οἱ δὲ κεγχροειδέες καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι πονηροί· οἱ δὲ μετὰ σταλαγμῶν καὶ ἀτμίζοντες ἀγαθοί. κατανοεῖν δὲ ὧδε* (*ὧδε* om. M) *χρὴ τὸ σύνολον τῶν ἱδρώτων· γίνονται γὰρ οἱ μὲν δι' ἔκλυσιν* (*ἔκκλυσιν* C′, *σωμάτων* add. M), *οἱ δὲ διὰ συντονίην* (— *ίαν* C′) *φλεγμονῆς* (. . . *ὡσαύτως γιγνόμενοι τοῖσι περὶ τὴν κεφαλὴν καὶ τὸν αὐχένα*

γινόμενοι πονηροί· οἱ δὲ μετὰ σταλαγμῶν κ. ἀτμ. ἀγαθοί· οἱ δὲ κεγχ. κ. τ. λ. V). Haec neque Parisino 2228 neque Vindobonensi w[1]) neque latina interpretatione Mediolanensi[2]) tradita ab oratione continua seiunxi, praesertim quae iam antiquitus auctori abiudicata esse testetur Galenus: *ἐφεξῆς τούτων γέγραπταί τινα περὶ ἱδρώτων, ἃ οὐκ εἰσιν ἐν ἅπασι τοῖς ἀντιγράφοις. ἃ καλῶς ἄλλοι τέ τινες ἐξεῖλον ὡς οὐχ Ἱπποκράτους καὶ οἱ περὶ τὸν Ἀρτεμίδωρόν τε καὶ Διοσκουρίδην* (cf. Littr. II 124). Accedit quod primum enuntiatum *καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι τοῖσι περὶ τὴν κεφαλήν* sententiae antecedenti *οὗτοι γὰρ — μῆκος νούσου* multo minus facile subiungitur, quam superiori illi *κάκιστοι δὲ οἱ ψυχροὶ καὶ μοῦνον περὶ τὴν κεφαλὴν γινόμενοι*, cui iam antiquitus illa adscripta erant, quod additamentum similibus deinceps observationibus facile augebatur.

Quae infra in extrema pag. 83 scripta leguntur: *τοὺς ὀφθαλμοὺς* — (p. 84) *ἐλπίς* in pap. Hercul. 831 afferri monuit Gomperzius (Beiträge II 13). Qui fragmentum ita legi vult: *καὶ ὁ ἰατρὸς Ἱπποκράτης τοὺς ὀφθαλμούς φησιν ἀποκατιδεῖν δεῖν ἐπί τινων· ἢν γὰρ αἱ ὄψεις πυκνὰ κεινέωνται, μανῆναι τούτους ἐλπίς.* Nuper Alfredus Koerte (Jahrb. f. klass. Philol. Suppl. Bd. XVII 578) collectione altera (Neapoli 1875) X 71 usus edidit: *κ. ὁ ἰ. Ἰ. τ. ὀ φ. ἀποκατιδεῖν δεῖν ἐπί*

1) Cod. Vindobonensis XVI, olim 35, scholiorum Stephani Atheniensis in Hippocr. Aphorismos, in cuius margine a fol. 185—201v Praenotionum pars prior inscriptus est, saeculi XV, chartaceus, foliorum 360.

2) Ambrosianus G 108 inf. saec. IX—X, cf. Herm. XXV 120 sqq.

τινων. ἥν, φησίν, αἵ ὄψεις π. κειν., μανῆναι τούτους ἔ.

Quae vulgo in medio cap. 19 post *ἀνέλπιστος ὁ ἄνθρωπος* (pag. 99, 14) sequuntur aut uno codice C′ extremo capiti 18 adnectuntur: *ὁκόσα δὲ τῶν ἐμπύων καίονται* (*ἢ τέμνονται* add C′), *οἷσιν ἂν καθαρὸν μὲν τὸ πῦον ᾖ* (*εἰ μὲν τὸ πῦον καθαρὸν* C′) *καὶ λευκὸν καὶ μὴ δυσῶδες, σῴζονται· οἷσι δὲ* (*ἢν δὲ* C′) *ὕφαιμόν τε* (*τε* om. C′) *καὶ βορβορῶδες* (*καὶ δυσῶδες* add C′), *ἀπόλλυνται* quattuor codicibus V r[1]) c[2]) Par. 2269 omissa, a Galeno et scholiasta Dietziano (p. 196) silentio praeterita, a Prognostici denique habitu propter mentionem urendi secandique factam prorsus aliena, sicut antea Ermerins et Reinhold expunxerunt, ipse quoque expunxi.

---

1) Vatican. 2254 membr. in 4° saec. X, et ab initio et a fine mutilus continet (fol. 21—25) tertiam fere Prognostici partem inde a verbis [*ἢν*] *ὅ τε πυρετὸς ἔχῃ καὶ ἡ ὀδύνη κ. τ. λ.* (c. 18), cuius collationem Ilbergio dono misit, qui codicem abhinc septem fere annos invenit, R. Reitzenstein. Cf. Ilberg in Mus. Rh. vol. XLII 461 et Kuehlewein in Hermae vol. XXV 117 sqq.

2) Med. 74, 11, bombyc. saec. XIII in 8° continet Prognost. fol. 171—199. cf. Kuehlewein Herm. XXV 116.

Utrique codici propinquus est Med. 75, 3 (f) membr. saec. XII, in 8°, continens folia scripta 263, in quo variis medicamentis secundum litterarum ordinem enumeratis tabulisque medicis additus est (pag. 239—268) liber Praenotionum.

ΠΡΟΓΝΩΣΤΙΚΟΝ.

II 110 L. 1. *Τὸν ἰητρὸν δοκεῖ μοι ἄριστον εἶναι πρόνοιαν ἐπιτηδεύειν· προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι τά τε παρεόντα καὶ τὰ προγεγονότα καὶ τὰ μέλλοντα ἔσεσθαι, ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες ἐκδιηγεύμενος πιστεύοιτο ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεύντων πρήγματα, ὥστε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφᾶς αὐτοὺς τῷ ἰητρῷ. τὴν δὲ θεραπείην ἄριστα ἂν ποιέοιτο προειδὼς τὰ ἐσόμενα ἐκ τῶν παρεόντων παθημάτων. ὑγιέας μὲν γὰρ ποιεῖν ἅπαντας τοὺς νοσέοντας ἀδύνατον· τοῦτο γὰρ καὶ τοῦ προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι κρέσσον ἂν ἦν· ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνῄσκουσιν, οἱ μὲν πρὶν ἢ καλέσαι τὸν ἰητρὸν ὑπὸ τῆς ἰσχύος τῆς*
112 *νούσου, οἱ δὲ | καὶ ἐσκαλεσάμενοι παραχρῆμα ἐτελεύτησαν — οἱ μὲν ἡμέρην μίαν ζήσαντες, οἱ δὲ ὀλίγῳ πλείονα χρόνον —, πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι· γνῶναι οὖν χρὴ τῶν τοιούτων νοσημάτων τὰς φύσιας, ὁκόσον ὑπὲρ τὴν*

2 *δὲ δοκέει* C′ *ἀριστον ἠνε* C′ man. 2 i. m. 3 *προγινώσκειν* (*γὰρ* ss. man. 2) *καὶ προλέγειν* C′ 6 *ἐκδιηγούμενοι* C′ *πιστεύειντ'* M 7 *ὅστε* C′ 9 *δὲ* om. C′, *τήν τε θ.* Wil. *ἄριστ'* M 10 *ἐπεσόμενα* V *ἐκ* om. M *παρεόντων* om. MV 11 *ἀσθενέοντας* pro *νοσ.* MV 12 *καὶ* om. M *ἀποβήσ.* om. C′ 13 *εἴη* C′ *ἐπεὶ δὲ* V 14 *πρινὶ* C′ *ἢ* om. MV *τῆς* ante *ἰσχ.* om. MV *τῶν νούσων* V 16 *δὲ* pro *μὲν* V *μίαν* om. MV 17 *πρινὶ* C′ *τὴν τέχνην* M 18 *νόσιμα ἀνταγονίσαθαι* C′ *γνῶναι* Littr. ex cod. Par. 2269 et uno Foesiano (*scire* interpr. Mediol.), *γνῶντα* C′, *γνόντα* MV *τῶν παθέων τῶν τοιουτέων* MV

δύναμίν εἰσιν τῶν σωμάτων [ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι] καὶ τούτων τὴν πρόνοιαν ἐκμανθάνειν. οὕτω γὰρ ἄν τις θαυμάζοιτο δικαίως καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη· καὶ γὰρ οὓς οἷόν τε περιγίνεσθαι ἔτι μᾶλλον ἂν δύναιτο διαφυλάσσειν ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα καὶ τοὺς ἀποθανευμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προλέγων ἀναίτιος ἂν εἴη.

2. *Σκέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασιν· πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων, μάλιστα δέ, εἰ αὐτὸ ἑωυτῷ· οὕτω γὰρ ἂν εἴη | ἄριστον, τὸ δὲ ἐναν-* 114 *τιώτατον τοῦ ὁμοίου δεινότατον. εἴη δ' ἂν τὸ τοιόνδε· ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ καὶ συνεσταλμένα καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι καὶ τὸ δέρμα τὸ περὶ τὸ πρόσωπον σκληρὸν καὶ περιτεταμένον καὶ καρφαλέον ἐόν· καὶ τὸ χρῶμα τοῦ σύμπαντος προσώπου χλωρὸν ἢ μέλαν ἐόν. ἢν μὲν ἐν ἀρχῇ τῆς νούσου τὸ πρόσωπον τοιοῦτον ᾖ καὶ μήπω οἷόν τε ᾖ τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι, ἐπανερέσθαι χρή, μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἦν ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχει αὐτόν· καὶ ἢν μέν τι τούτων*

2 cf. s. p. 75, *ἔστιν* pro *ἔνεστιν* V   *τουτέων* C′, *τούτῳ* M, *τουτέου* V   3 *τις* om. M   post *θαυμ.* add. *τε* MV   4 *περιγενέσθαι* C′   5 *δύναιτ' ἂν ὀρθῶς διαφ.* M   7 *προγινώσκειν τε καὶ προλέγειν* C′, *προαγορεύων* pro *προλέγ.* MV   11 *εἰ* om. V   12 *ἑωυτὸ* C′   *δ'* MV   13 *δ' αὐτὸ τοιόνδε* C′, *δ' ἂν τόδε* V   15 *καὶ* ante *οἱ λ.* om. V   16 *καὶ τὸ* om. V   *μέτωπον* MV   17 post *σκλ.* add. *τε* MV   *καρφάλαιον* C′   18 *χλ. τε ἢ* (*ἢ* V) *καὶ μ.* MV, *χλ. τε ἢ μ.* C′, *χλ. ἢ μ.* cfwg   post *ἐὸν* add. *καὶ πελιὸν* (*πελιδνὸν*) *ἢ μολιβδῶδες* codd. omn. praeter C′ V   19 *εἰ* C′   *μὲν οὖν* MV   *τοιούτεον ἢ* C′   21 *ἐπαναίρεσθαι* C′   ante *μὴ* add. *εἰ δὴ* V   *ὤνθρ.* MV   22 *εἴη* C′, *ᾖ* MV, dedi *ἦν*   23 *ἔχῃ* M, *ἐπέχει* V   *κἢν* M

ὁμολογῇ, ἧσσον νομίζειν δεινὸν εἶναι· κρίνεται δὲ ἐν ἡμέρῃ τε καὶ νυκτί, ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ· ἢν δὲ μηδὲν τούτων φῇ μηδὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι τοῦτο τὸ σημεῖον θανατῶδες ἐόν. ἢν δὲ καὶ
116 *παλαιοτέρου ἐόντος τοῦ νοσήματος ἢ τριταίου | τὸ πρόσωπον τοιοῦτον ᾖ, περί τε τούτων ἐπανερέσθαι, περὶ ὧν καὶ πρότερον ἐκέλευσα καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ σύμπαντι σώματι καὶ τὰ ἐν τοῖσι ὀφθαλμοῖσιν. ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν ἢ δακρύωσιν ἀπροαιρέτως ἢ διαστρέφωνται ἢ ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων γίνηται ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν ἢ πελιδνὰ ἢ φλέβια μέλανα ἐν αὐτοῖσιν ἢ λῆμαι φαίνωνται περὶ τὰς ὄψιας ἢ καὶ ἐναιωρεύμενοι ἢ ἐξίσχοντες ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι ἢ τὸ χρῶμα τοῦ σύμπαντος προσώπου ἠλλοιωμένον, ταῦτα πάντα κακὰ νομίζειν εἶναι καὶ ὀλέθρια. σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν· ἢν*
118 *γάρ τι ὑποφαίνηται συμβαλλομένων τῶν βλεφά|ρων τοῦ λευκοῦ, μὴ ἐκ διαρροίης ἢ φαρμακοποσίης ἐόντι*

1 *νομίζει* M 2 ante *ἐν* add. *ταῦτα* C′, *τὰ τοιαῦτα* M *τε* om. C′ post *νυκτὶ* add. *μιῇ* C′ 3 *εἰ* pro *ἢν* V 4 *φημὶ δὲ* C′, *φῇ εἶναι* M *μηδ᾽ ἐν* MV 5 *εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου* M 6 *ἢ τεταρταίου* add. M 7 *τε* om. MV *ἐπαναίρεσθαι* C′ 9 post *σύμπ.* add. *προσώπῳ καὶ τὰ ἐν τῷ* MV 10 *διαφεύγωσιν* C′ 11 *ἀπὸ αἱρέτως* C′ *ἢν* pro altero *ἢ* C′ *θάτερος θατέρου* MV 12 *ἐλάσσω* C′ 13 *ἴσχ. ἢ πελιδνὰ βλέφαρα ἢ μέλανα φλέβια ἐν ἑαυτοῖς ἢ* C′ *φλεβία* V post *αὐτοῖσιν* add. *ἔχωσιν* MV *λιμαὶ* C′, *αημαι* M 14 *ἢ καὶ ἐνεωρεύμενοι* M, *ἐπαιωρόμεναι* (om. *ἢ καὶ*) V, *ἢ κ. ἐν.* om. C′ 15 post *ἔγκοιλοι* iterant *φαίνωνται* Med. 75, 3 (saec. XII) et interpret. lat. (*videantur*) post *γινόμ.* add. *ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπεῖς* M, *εἰ τὸ χρ.* C′ 16 ante *ἠλλ.* add. *χλωρὸν ἢ* C′ *ᾖ* post *ἠλλ.* add. MV 17 *εἶναι* post *ὀλέθ.* MV ante *χρὴ* add. *ὧδε* V 19. 20 *τοῦ λευκοῦ τ. βλ. μὴ ξυμβ. τοῦ λευκοῦ* M, *τοῦ λευκοῦ τ. βλ. ξ.* V 20 *ἢ ἐκ φαρμ.* V

ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φαῦλον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα. ἢν δὲ καμπύλον [ἢ ῥικνὸν] γένηται ἢ πελιδνὸν βλέφαρον ἢ χεῖλος ἢ ῥὶς μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου· θανατῶδες δὲ καὶ χείλεα ἀπολυόμενα καὶ κρεμάμενα καὶ ψυχρὰ καὶ ἔκλευκα γινόμενα.

3. Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα καὶ τὸ σύμπαν σῶμα ὑγρὸν κείμενον· οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται· ἄρισται δὲ τῶν κατακλισίων αἱ ὁμοιόταται τῇσι τῶν ὑγιαινόντων. ὕπτιον δὲ κεῖσθαι καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα ἧσσον ἀγαθόν. εἰ δὲ καὶ προπετὴς γένοιτο καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστι τοῦτο ἐκείνου. εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων μὴ θερμοὺς κάρτα ἐόντας καὶ τὰς χεῖρας καὶ | τὰ σκέ- 120
λεα ἀνωμάλως διερριμμένα καὶ γυμνά, κακόν· ἀλυσμὸν γὰρ σημαίνει. θανατῶδες δὲ καὶ τὸ κεχηνότα καθεύδειν αἰεὶ καὶ τὰ σκέλεα ὑπτίου κειμένου συγκεκαμμένα εἶναι ἰσχυρῶς καὶ διαπεπλεγμένα. ἐπὶ γαστέρα δὲ κεῖσθαι, ᾧ μὴ σύνηθές ἐστι καὶ ὑγιαίνοντι κοιμᾶσθαι οὕτω, κακόν· παραφροσύνην γὰρ σημαίνει ἢ ὀδύνην

1 φλαῦρον VM 2 ἢν δὲ .... ἔκλευκα γιν. om. C′ cf. s. p. 73 ἢ ῥικνὸν add. V, ἢ ῥικνότερον M, cf. s. p. 74 3 post πελ. add. ἢ ὠχρὸν M 4 θανατῶδες . . . γινόμενα om. V 11 ὑ. ἔχειν κ. C′ 12 κλείνονται M, κλίνονται V post δὲ add. εἰσι(ν M) VM ὅμοιαι M 14 post χεῖρας add. καὶ τὸν τράχηλον M 15 γίγνοιτο V καταρέοι C′ 16 τοὺς om. MV τοῦτο ἐκείνου om. MV 18 post χεῖρας add. καὶ τὸν τράχηλον MV 19 καὶ γυμνὰ M, καὶ om. C′V, γυμνᾶ C′, κ. γ. del. Wil. 20 θανατωδέες M 22 γαγαστέρα M 24 οὕτω(ς M) κοιμ. MV κακὸν om. MV παραφρ. τινὰ

τινὰ τῶν περὶ τὴν γαστέρα τόπων. ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα τῆς νούσου ἀκμαζούσης πονηρὸν μὲν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, κάκιστον δὲ ἐν τοῖσι περιπνευμονικοῖσιν. ὀδόντας δὲ πρίειν ἐν πυρετῷ, ὁκόσοισι μὴ σύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες· [ἀλλὰ χρὴ προλέγειν κίνδυνον ἐπ' ἀμ-
122 *φοτέρων ἐσόμενον·] ἢν δὲ καὶ παραφρονέων | τοῦτο ποιῇ, ὀλέθριον κάρτα ἤδη γίνεται.*

Ἕλκος δέ, ἤν τε προγεγονὸς τύχῃ ἔχων, ἤν τε καὶ ἐν τῇ νούσῳ γίνηται, καταμανθάνειν· ἢν γὰρ μέλλῃ ἀπολεῖσθαι ὁ ἀσθενῶν, πρὸ τοῦ θανάτου ἢ πελιδνὸν καὶ ξηρὸν ἔσται ἢ ὠχρὸν καὶ σκληρόν.

4. *Περὶ δὲ χειρῶν φορῆς τάδε γινώσκω· [ὅσοισιν] ἐν πυρετοῖσιν ὀξέσιν ἢ ἐν περιπνευμονίῃσι καὶ ἐν φρενίτισι καὶ ἐν κεφαλαλγίῃσι πρὸ τοῦ προσώπου φερομένας καὶ θηρευούσας διὰ κενῆς καὶ κροκύδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας καὶ καρφολογεούσας καὶ ἀπὸ τῶν τοίχων ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς καὶ θανατώδεας.*

5. *Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν πόνον σημαίνει ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισιν·*

σημ. ἢ ὀδ. τῶν ἀμφὶ τὴν κοιλίην τ. MV 1 *περὶ τῶν τὴν* C′ 3 *δ' ἐν* MV 5 *πυρετοῖς* MV *καὶ μαν.* V 6 *καὶ* post *μαν.* om. C′ *ἀλλὰ — ἐσόμ.* del. Erm., transponi iubet post *τόπων* (v. 1) Gomperz *χρὴ* om. M *ἐπ' ἀμφοῖν κίνδ.* V, *ἀπ' ἀμφοῖν κίνδ.* M 7 *εἰ* pro *ἢν* V 8 *ποιέει* C′V *γίν. κάρτα ἤδη* M, *κάρτα γίγν. ἤδη* V 9 *εἰ τύχοι προγ. ἔχ.* C′ ante *προγεγ.* add. *καὶ* MV 10 *γένηται* V post *καταμ.* add. *χρή* MV 11 *ἀπόλλυσθαι* M *ὤνθρωπος* pro *ὁ ἀσθ.* MV *ἢ* om. MV *πελ. τε καὶ ξ.* M 12 *ἢ ξηρόν τε καὶ χλωρόν* V, *ἢ ὠχρόν τε καὶ ξηρόν* M 13 *ὁκόσοισιν* MV, *ὅσ.* del. Wil. 14 *ἢ περιπλευμονίῃσιν ἢ ἐν φρ.* MV 15 *ἢ ἐν κεφ.* V 16 *διὰ κενῆς* om. V, *διακενῆς* M ante *καὶ κροκ.* add. *καὶ ἀποκαρφολογούσας* MV *κροκίδας* C′ 17 *ἀποτείλουσας* C′ *καὶ καρφ.* om. MV 18 *τῶν τύχων* C′, *τοῦ τοίχου* MV *σπώσας* V, *ὁρᾷς* post *ἄχυρα* de suo add. Rhd. 21 *τὸ* pro *τῶν* M

μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου παραφροσύνην σημαίνει· ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος ὀλέθριον κάρτα ἤδη γίνεται. εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς ἐστιν καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

6. Οἱ δὲ ἱδρῶτες ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖσιν ὀξέσι νοσή|μασιν, ὁκόσοι ἂν ἐν ἡμέρῃσι κρισίμῃσι 124
γίνωνται καὶ τελέως τοῦ πυρετοῦ ἀπαλλάσσωσιν. ἀγαθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νόσημα. οἳ δ' ἂν μὴ τούτων τι ἀπεργάζωνται, οὐ λυσιτελέες. κάκιστοι δὲ οἱ ψυχροὶ καὶ μοῦνον περὶ τὴν κεφαλὴν γινόμενοι καὶ τὸν αὐχένα· οὗτοι γὰρ σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον σημαίνουσιν, σὺν πρηϋτέρῳ δέ, μῆκος νούσου.

7. Ὑποχόνδριον δὲ ἄριστον μὲν ἀνώδυνόν τε ἐὸν καὶ μαλθακὸν | καὶ ὁμαλὸν καὶ ἐπὶ δεξιὰ καὶ ἐπ' 126
ἀριστερά· φλεγμαῖνον δὲ καὶ ὀδύνην παρέχον ἢ ἐντεταμένον ἢ ἀνωμάλως διακείμενον τὰ δεξιὰ πρὸς τὰ ἀριστερά, ταῦτα πάντα φυλάσσεσθαι χρή. εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει ἢ παραφροσύνην· ἀλλὰ τοὺς ὀφθαλμοὺς τῶν τοιούτων

1 δ' M ἀναπνεομένοισι V 2 δηλοῖ pro σημ. MV 3 ante τοῦ add. ἐκ C' 5 ἐμπᾶσι C', ἐν ἅπασι M 6 ὅσα M, ἅσσα V συμπυρετοῖς C' 9 οἳ pro ὁκ. V ἡμέρῃσί τε MV 10 γέν. V, γίνονται M τὸν πυρετὸν C' M ἀπαλλάσσουσιν C', ἀπαλλάξουσι M, ἀπαλλάξωσιν V 11 καὶ om. M ὁκόσοισι V γενόμ. M 13 εἰ pro οἳ C' ἐξεργάσωνται MV 14 ψυχροί τε καὶ MV post κεφ. add. καὶ τὸ πρόσωπον MV 16 προσημ. MV σὺν (ξὺν M) δὲ πρηυτ. MV de eis, quae h. l. vulgo sequuntur v. s. p. 75 18 ἐπιδεξιὰ C'V ἐπαριστερὰ C' 19 ἢ pro καὶ MV ἢ om. V 20 διακείμεν$\overset{α}{ο}$ν M 21 πάντα ταῦτα V

ἐπικατιδεῖν χρή· ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τὸν κάμνοντα ἐλπίς.

Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον κάκιστον μέν, εἰ παρ' ἅπαν εἴη τὸ ὑποχόνδριον· εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ πλευρῷ, ἀκινδυνότερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερὰ ἐόν[τι]. σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα ἐν ἀρχῇ μὲν κίνδυνον θανάτου ὀλιγοχρόνιον [ἔσεσθαι]· εἰ δὲ ὑπερβάλλοι εἴκοσιν ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται. γίνεται δὲ τούτοισιν ἐν τῇ πρώτῃ περιόδῳ καὶ αἵματος ῥῆξις διὰ ῥινῶν
128 *καὶ | κάρτα ὠφελεῖ· ἀλλ' ἐπανέρεσθαι χρή, εἰ κεφαλὴν ἀλγέουσιν ἢ ἀμβλυώσσουσιν· εἰ γὰρ εἴη τι τούτων, ἐνταῦθα ἂν ῥέποι. μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι.*

Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα χρονιωτέρας τὰς κρίσιας ποιεῖται καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν· εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἔμπυον ἔσεσθαι σημαίνει· καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό. ὁκόσα μὲν οὖν ἐπώδυνά τέ

1 *ἔνι κατιδεῖν τῶν τοιούτων* V, *ἐπικ. τ. τοιουτέων* M *χρὴ* om. MV 2 *τοῦτον* pro *τ. κ.* MV, cf. s. p. 76 4 *μὲν* om. V *ἢ* pro *εἰ* M *παραπαν* C′, *παράπαν* MV 6 *ἢ ἐν* MV *ἐόντι* C′, *ἐὸν* Wil., om. MV 7 *κίνδυνον* om. M *θάνατον ὀλιγοχρόνιον* M, *θανάτου ὀλιγοχρονίου* V 8 *ἔσ.* del. Wil. *ἢν* MV *ὑπερβάλλει* C′, *-ῃ* M 11 *ἐκ τῶν ῥ.* MV 12 *ἐπαναίρεσθαι* C′, *ἐπανερωτᾶν* M, *ἐπερωτᾶν* V *χρὴ* om. V *τὴν* ante *κεφ.* add. M 13 *ἀμβλυωποῦσιν* MV *εἰ — τούτ.* f, *ὡς γὰρ ἂν ᾖ τουτέων* C′, *ἢν γάρ τι τοιοῦτον εἴη* MV 14 *ἐνταῦθἂν* V *ἂν* om. M ante *πέντε* add. *χρὴ* V 15 *τὴν τοῦ αἵμ. ῥ.* MV *προςδ. χρή* M 17 *ἐπόδυνα* C′ 20 *καθίσταται* MV 21 *τὸ* ante *ἔμπ.* add. V 22 *τοῦτο* pro *τὸ αὐτὸ* V *ἅσσα* V

ἐστιν καὶ σκληρὰ καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτου ὀλιγοχρόνιον, ὁκόσα δὲ μαλθακά τε καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα.

Τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιεῖται τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν, ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ ἐς διαπύησιν τρέπεται· αἵματος δὲ | ῥῆξιν μάλιστα ἐκ τῶν ἄνω τόπων 130 προςδέχεσθαι. ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων περὶ ταῦτα τὰ χωρία ὑποσκέπτεσθαι τὰς ἐμπυήσιας. τὰ δὲ διαπυήματα ὧδε χρὴ σκέπτεσθαι τὰ ἐντεῦθεν· ὁκόσα μὲν αὐτῶν ἔξω τρέπεται, ἄριστά ἐστι σμικρά τε ἐόντα καὶ ὡς μάλιστα ἔξω ἐκκλίνοντα καὶ ἐς ὀξὺ ἀποκορυφούμενα· τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα κάκιστα· ὁκόσα δὲ ἔσω ῥήγνυται, ἄριστά ἐστιν, ἃ τῷ ἔξω χωρίῳ μηδὲν ἐπικοινωνεῖ, ἀλλὰ ἔστιν προσεσταλμένα τε καὶ ἀνώδυνα καὶ ὁμόχροον ἅπαν τὸ ἔξω χωρίον φαίνεται. τὸ δὲ πῦον ἄριστόν ἐστιν λευκόν τε καὶ λεῖον καὶ ὁμαλὸν καὶ ὡς ἥκιστα δυσῶδες· τὸ δὲ ἐναντίον τῷ τοιούτῳ κάκιστον.

1 κινδ. καὶ θανάτους ὀλιγοχρονίους V, -χρονίου C′ M, -χρόνιον vulg. 2 post ὀλ. add. ἔσεσθαι C′ δὲ om. M 3 δακτυπιεζεύγμενα (sic) V πιεζεύμενα M ὑπήκ. (ut supra 84,18) C′ χρονιώτερον C′ post χρον. add. ἐκείνων M 4 δ' ἀποκαταστάσηας V ηισῶν pro ἧσσον C′ τῇ om. C′ 6 ὑπὸ κάτω C′ ἀποπύησιν MV 7 ante μάλ. add. καὶ C′ μάλιστα ante προςδ. M 9 ante περὶ add. τῶν V 10 ἐμποιήματα C′ 11 ἐντεῦθε C′ ἅσσα V αὐτῶν om. MV 12 ἐστιν ἄγαν μ. C′ μικρά τε ἐόντα καὶ om. MV ἔξω om. MV ἐκκρίνοντα V 13 ἀποκυρτούμενα MV 14 συνεσταλμένα pro ἀποκ. V κάκιστον M 15 ὅσα M, ἅσσα V τε pro δὲ C′ ῥίγνυνται C′ post ἃ add. μηθὲν M 16 μηθὲν MV, μὴ δὲν C′ κοινωνέει V ἀλλ' MV προεσταλμ. M 17 καὶ πᾶν τ. ἔ. χ. ὁ. φ. (φαίνηται M) MV 18 ποιὸν C′ ἐστιν om. MV λευκόν τε εἶναι καὶ λ. M, λίον C′ καὶ ὁμαλ. om. M, λευκόν τε εἶναι κ. ὁ. κ. λ. V 19 ὡς om. M δυσωδέες V δ' ἐναντιώτατον V 20 τουτέου M, τουτέω V pro τῷ τοιούτῳ κακιστόν ἐστι V

8. *Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί· οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν ἐπώδυνοί τέ εἰσιν κάρτα καὶ θανατώδεες. ἄρχονται δὲ οἱ πλεῖστοι ἀπὸ τῶν κενεώνων τε καὶ τῆς ὀσφύος, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. ὁκόσοισι μὲν οὖν ἐκ τῶν κενεώνων αἱ ἀρχαὶ καὶ τῆς ὀσφύος γίνονται, οἵ τε πόδες οἰδέουσιν καὶ διάρροιαι πολυχρόνιοι ἴσχουσιν οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων τε καὶ*
132 *τῆς ὀσφύος οὔτε τὴν γαστέρα λαπάσσουσαι·* | *ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος γίνονται, βῆξαί τε θυμὸς αὐτοῖς ἐγγίνεται καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου καὶ οἱ πόδες οἰδέουσιν καὶ ἡ γαστὴρ οὐ διαχωρεῖ, εἰ μὴ σκληρά τε καὶ ἐπώδυνα καὶ πρὸς ἀνάγκην καὶ περὶ τὴν κοιλίην οἰδήματα γίνεται, τὰ μὲν ἐπὶ δεξιά, τὰ δὲ ἐπ' ἀριστερά, ἱστάμενά τε καὶ καταπαυόμενα.*

9. *Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες ψυχρὰ ἐόντα κακόν τῆς τε κοιλίης καὶ τῶν πλευρῶν θερμῶν ἐόντων. ἄριστον δὲ ἅπαν τὸ σῶμα θερμόν τε εἶναι καὶ μαλθακὸν ὁμαλῶς.*

Στρέφεσθαι δὲ δεῖ τὸν νοσέοντα ῥηϊδίως καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι· εἰ δὲ βαρύτερος ἐὼν φαίνοιτο καὶ τὸ ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ

1 post *νοσ.* add. *γιγνόμενοι* C′ 3 *δὲ* pro *τέ* C′ *κάρτα* om. MV *λίαν* gloss. C′ man. 3 i. m. 4 *τε* om. MV 5 *οἷσι* MV *ἀπὸ* pro *ἐκ* MV 6 *κεν. κ. τ. ὀ. αἱ ἀ.* M *καὶ τῆς ὀσφ.* om. V post *γίν.* add. *τῶν ὑδρώπων* MV 7 *πολυχρόνιαι* V *ἔχουσιν* MV 10 *δ' εἰσὶν ἀπὸ* V post *ἥπ.* add. *ὕδρωπες* M, *οἱ ὕδ.* V *γίν.* om. V *βῆχές τε θῦμός τε* M 10. 11 *γίνεται αὐτέοισιν* M, *αὐτέοισι γίγν.* V 11 *καὶ ἀποπτ.* om. et *οὐδὲν ἄξ. λόγ.* i. m. M, *καὶ οὐδέν τι ἀποπτ. ἄξ. λόγ.* V *οἵ τε πόδ.* C′ 13 *καὶ ἐπώδυνα* om. MV 14 *γίν.* (*γίγν.* V) *οἰδ.* MV *δ' ἐπ'* MV 16 *καὶ πόδ. κ. χεῖρ.* V 17 *τε* om. V 18 *πᾶν* V *καὶ ὅλον* pro *ἅπαν* M *εἶναι* om. M *θερμ. τ. κ. μ. ὁ. εἶναι* V 19 *ὁμαλῶς* om. M 20 *Στρ. δὲ χρὴ ῥηϊδίως τὸν* MV *ἀλγεῦντα* pro *νοσ.* M 21 *βαρὺς* MV 22 *καὶ τ' ἄλλο* V

τοὺς πόδας, ἐπικινδυνότερόν ἐστιν. εἰ δὲ πρὸς τῷ βάρει καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνοιντο, προςδόκιμος ὁ θάνατος αὐτίκα· μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι ἢ οἱ πόδες ἧσσον ὀλέθριοι τῶν πελιδνῶν. ἀλλὰ τὰ ἄλλα σημεῖα σκέπτεσθαι χρή· ἢν γὰρ εὐπετέως φαίνηται φέρων τὸ νόσημα ἢ καὶ ἄλλο τι τῶν περιεστικῶν σημείων πρὸς τούτοισιν | ἐπιδεικνύῃ, 134 *τὸ νόσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπίς, ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν.*

Ὄρχιες δὲ καὶ αἰδοῖον ἀνεσπασμένα σημαίνει πόνον ἢ θάνατον.

10. *Περὶ δὲ ὕπνου ὥσπερ καὶ κατὰ φύσιν ἡμῖν σύνηθές ἐστιν, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρή, τὴν δὲ νύκτα καθεύδειν· ἢν δὲ τοῦτο μεταβεβλημένον ᾖ, κάκιον γίνεται· ἥκιστα δὲ ἂν λυπέοι, εἰ κοιμῷτο πρωὶ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης· οἱ δὲ ἀπὸ τούτου τοῦ χρόνου ὕπνοι πονηρότεροί εἰσιν· κάκιστον δὲ μὴ κοιμᾶσθαι μήτε τῆς ἡμέρης μήτε τῆς νυκτός· ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνου ἀγρυπνοίη ἂν ἢ παραφροσύνη ἔσται ἀπὸ τούτου τοῦ σημείου.*

1 ante *πρὸς* add. *καὶ* MV, eidem om. *καὶ* post *βάρ.* (v. 2) 2 *γί(γ V)νονται* MV 4 *ἢν* pro *ἢ* M 5 post *πελ.* add. *εἴσιν* MV *τ' ἄλλα* V 6 *φέρ. φαίν.* MV *τὸ κακὸν* pro *τὸ νόσ.* MV *ἢ* om. MV *ἢν καὶ* C′ 7 *περιεστηκότων* VC′ *σημείων* om. MV *πρὸς τούτ.* om. V post *τούτ.* add. *τοῖσι σημείοισιν* M *ὑποδεικνύει* M, *ὑποδεικνύῃ* V, *ἐπιδεικνύει* C′ 8 *τὸ νόσ.* om. V *τρέπεσθαι* (*ἐλπίς* om.) C′ 9 *μὲν* om. V *μελαινωθέντα* V 11 *αἰδοῖα* M *ἀνεσπασμένον* V *πόνους ἰσχυροὺς σημαίνει καὶ κίνδυνον θανατώδεα* (*-ώδη* V) MV 13 *ὕπνων* MV *καὶ* om. MV 14 *ξύνηθες ἡμῖν* MV 15 *ἢν δὲ εἴη* MV *ᾖ* om. MV 16 *γίνεται* om. M *δ' ἂν* M *λυποίη* V, *λυπαίοιτο* M *κοιμῶντο* C′ *τὸ πρωὶ* M 17 *ἔστοι ῥητὸν μέρ.* V *δ'* MV 18 *πον. δὲ εἴσι* V 19 *μήτε τ. ν. μ. τ. ἡ.* MV *εἰ* pro *ἢ* VC′ 20 *τε* om. V *πόνων* MV *ᾗ* V, *ηι* M *παραφρονήσει ἀπὸ* V

11. *Διαχώρημα δὲ ἄριστόν ἐστιν μαλθακόν τε καὶ συνεστηκὸς καὶ τὴν ὥρην, ἥνπερ καὶ ὑγιαίνοντι διεχώρει, πλῆθος δὲ πρὸς λόγον τῶν ἐσιόντων· τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, συμφέρει μήτε τρύζειν*
136 *μήτε πυκνόν τε καὶ κατ᾽ ὀλίγον | διαχωρεῖν· κοπιῶν γὰρ ὁ ἄνθρωπος ὑπὸ τῆς συνεχέος ἐξαναστάσιος καὶ ἀγρυπνοίη ἄν· εἰ δὲ ἀθρόον πολλάκις διαχωρέοι, κίνδυνος λειποθυμῆσαι. ἀλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν ἐσιόντων ὑποχωρεῖν δὶς ἢ τρὶς τῆς ἡμέρης καὶ τῆς νυκτὸς ἅπαξ, τὸ δὲ πλεῖστον ὑπίτω πρωί, ὥσπερ καὶ σύνηθες ἦν τῷ ἀνθρώπῳ. παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου. ὑπόπυρρον δὲ ἔστω καὶ μὴ λίην δυσῶδες. ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου. δεῖ δὲ ἐν παντὶ νοσήματι λαπαρήν τε εἶναι τὴν κοιλίην καὶ εὔογκον. ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν ἢ χλωρὸν ἰσχυρῶς ἢ ἀφρῶδες διαχωρεῖν, πονηρὰ ταῦτα πάντα.*
138 *πονηρὸν δὲ καὶ σμικρόν τε ἐὸν καὶ γλίσχρον καὶ | λευκὸν καὶ ὑπόχλωρον καὶ λεῖον. τούτων δὲ θανατωδέστερα ἂν εἴη τὰ μέλανα ἢ πελιδνὰ ἢ λιπαρὰ ἢ ἰώδεα καὶ*

1 *μέν ἐστι* V *τὸ μαλθ.* M 2 *ἢν* pro *καὶ τὴν* C′ *διεχώρῃ*[ει] M 4 *ἐξόδου* C′ *νείαιρα γαστὴρ* pro *κάτω κοιλ.* Heringa ex Erotiano cf. s. p. XXXIII 5 *τρύζων* C′ 6 post *τε* add. *ἐόν* C′ *ὑποχωρέει*[η] M *κοπιῇ* M 7 *ὁ* om. V 8 *διαχωρέει* M 9 *πλεῖστον* pro *πλῆθ.* M 11 *τὸ δὲ πλεῖστον ὑπίειν τὸ πρωὶ* C′, *πλέον δὲ ὑπήτω πρ.* V, *πλείονα δὲ ὑπίτωι πρ.* M *ὡς* V *καὶ* om. MV 12 *σύνηθές ἐστι* M 13 *ὑπόπυρρ.* — *νούσου* om. C′ 17 ante *νοσ.* add. *τῷ* M *λαπαρὴν τὴν κ. εἶναι καὶ* MV 18 *ἢ χλωρὸν* om. V 19 post *χλωρ.* add. *ἢ ἐρυθρὸν* MV *πάντα ταῦτα* V 20 *καὶ γλ. κ. λευκ. κ. μικρ. κ. ὑπόχ. κ. λίον* C′, *κ. σμ. τε ἐὸν κ. γλ. κ. λεῖον κ. λευκ. κ. ὑπόχ.* V, *καὶ λεῖον* om. M, del. Wil. 21 *δ᾽ ἔτι* V 22 *μέλ. ἢ λιπ. ἢ πέλια ἢ ἰώδ.* M, *πελιὰ ἢ μέλ. ἢ λιπ. ἢ ἰώδ.* V

κάκοδμα. τὰ δὲ ποικίλα χρονιώτερα μὲν τούτων, ὀλέθρια δὲ οὐδὲν ἧσσον· ἔστιν δὲ ταῦτα ξυσματώδεά τε καὶ αἱματώδεα καὶ χολώδεα καὶ πρασοειδέα καὶ μέλανα, ποτὲ μὲν ὁμοῦ διεξερχόμενα, ποτὲ δὲ καὶ κατὰ μέρος.

Φῦσαν δὲ ἄνευ ψόφου καὶ πραδήσιος διεξιέναι ἄριστον· κρέσσον δὲ καὶ σὺν ψόφῳ διεξελθεῖν ἢ αὐτοῦ ἐναπειλῆφθαι καὶ συνειλεῖσθαι· καίτοι καὶ οὕτω διεξελθοῦσα σημαίνει πονεῖν τι τὸν ἄνθρωπον ἢ παραφρονεῖν, ἢν μὴ ἑκὼν οὕτω ποιῆται ὁ ἄνθρωπος τὴν ἄφεσιν τῆς φύσης. τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρά τε καὶ μὴ σὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ καὶ μάλιστα μὲν διεξελθὼν σὺν κόπρῳ τε καὶ οὔρῳ· εἰ δὲ μή, καὶ αὐτὸς διαπεραιωθείς· ὠφελεῖ δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

12. *Οὖρον δὲ ἄριστόν ἐστιν, ὅταν ᾖ λευκὴ ἡ ὑπόστασις καὶ λείη καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος· σημαίνει γὰρ ἀσφάλειαν καὶ* 140
τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. εἰ δὲ διαλείποι καὶ ποτὲ μὲν καθαρὸν οὐρέοι, ποτὲ δὲ ὑφίσταιτο τὸ λευκόν τε

2 *πάντα* pro *ταῦτα* M *ξυσμ. τε καὶ αἱμ.* c, *τε κ. αἱμ.* om. C′MV 3 *καὶ αἱμ.* post *χολ.* add. Gal. i. t. et interpr. lat. *πρασιδέα* C′ 4 *τότε* bis V post *διεξ.* add. *ἀλλήλοισι* V, *-σιν* M *καὶ* om. MV 5 *ψόφ. μὲν καὶ* M 6 *διελθεῖν* MV *αὐτοῦ ποῦ ἐναπολῆφθαι καὶ συνιλεῖσθαι* C′ 7 *ἐναπειλῆφθαι καὶ* om. M *καὶ συνειλ.* om. V, *ἀνιλέεσθαι* M *καίτοι* om. M *διελθ.* MV 8 ante *πονεῖν* add. *ἢ* M *εἰ* pro *ἢ* C′ 9 *οὕτω* om. C′ *ὁ* (art. om. V) *ἄνθρ. οὕτω(ς* V) *π. τ. ἀφ. τ. φ.* MV 10 *δ'* V 11 *κ. τὰ κυρτόμ.* C′ *τε* om. MV *φλεγμ. ᾖ* (*ᾖ* i. m.) C′ *μὴ* om. C′ 12 *λύῃ* V *ἐπιγινόμενος* C′ 13 *διεξιὼν* M post *οὔρῳ* add. *καὶ φύσῃ* MV 14 *διπερεωθεὶς* M *ὠφελέει· ὠφελέει* M *δὲ* om. C′ 16 *δὲ* om. C′ *εἴη* pro *ᾖ* C′ *λευκή τε* MV *ἡ* om. C′ 18 *τε καὶ* MV 19 *τὸ* om. C′M *τὸ νόσ. ὀλιγοχρονιώτερον* V *διαλίποι* C′M 20 *οὐρέοιτο* V *ὑφίσταται* C′MV, opt. Opsop. p. 171 *τε* om. M

καὶ λεῖον καὶ ὁμαλόν, χρονιωτέρη γίνεται ἡ νοῦσος καὶ ἧσσον ἀσφαλής. εἰ δὲ εἴη τό τε οὖρον ὑπέρυθρον καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ προτέρου γίνεται, σωτήριον δὲ κάρτα. κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν ὑποστάσιες πονηραί· τούτων δὲ ἔτι κακίους αἱ πεταλώδεες· λεπταὶ δὲ καὶ λευκαὶ κάρτα φλαῦραι· τούτων δὲ ἔτι κακίους αἱ πιτυρώδεες. νεφέλαι δὲ ἐναιωρεύμεναι τοῖσιν οὔροισι λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φλαῦραι. ἔστ' ἂν δὲ λεπτὸν ᾖ τὸ οὖρον καὶ πυρρόν, ἄπεπτον σημαίνει τὸ νόσημα εἶναι· εἰ δὲ καὶ πολυχρόνιον εἴη τὸ νόσημα, τὸ δὲ οὖρον τοιοῦτον ἐόν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ ἡ 142 *νοῦσος.* | *θανατωδέστερα δὲ τῶν οὔρων τά τε δυσώδεα καὶ ὑδατώδεα καὶ μέλανα καὶ παχέα· ἔστι δὲ τῇσι μὲν γυναιξὶ καὶ τοῖσιν ἀνδράσι τὰ μέλανα τῶν οὔρων κάκιστα, τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδεα. ὁκόσοι δὲ οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέουσι πολὺν χρόνον, ἢν τὰ ἄλλα σημεῖα ὡς περιεσομένοις ᾖ, τούτοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία. καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας*

1 *καὶ ὁμαλόν* om. MV *καὶ χρον.* V 2 *δ'* V *τε* om. V *ὑπέρυθρον* om. V 4 *πρώτου* MV 5 *πονηρότεραι* V 6 *τουτέων δέ* (*δ'* V ut saepius) *εἰσι κακ.* MV *πεταλώδεες . . . κακίους αἱ* om. C', *χολώδεες* pro *πεταλ.* M 7 *δέ τι κακ. εἰσὶν αἱ* M 8 *ἐμφερόμεναι* M Gal. comm. ante *τοῖσιν* add. *ἐν* C' 10 *εἴη* C' *δὲ πυρόν* (*δ' ὑπόπυρόν* V) *τε ᾖ τ. οὖρ. κ. λ.* MV post *πυρρὸν* add. *καὶ ὁμαλόν* C' *σημ. τ. νόσ. ἄ. εἶναι* M, *ἄ. ν. σ. εἶναι* V 11 *εἶναι* om. C' *ᾖ* pro *εἴη* C' *τὸ ν., τ. δ. οὖρ.* om. MV 13 *ὤνθρ.* M *τὸ οὖρον* pro *ἡ νοῦσος* V 14 ante *τά* add. *ἐστὶ* V 15 *ὑδαρέστερα* C' *καὶ ὑδατ.* post *παχ.* V *ἔτι* pro *ἔστι* C' *τοῖσι γυναιξὶ κ. τοῖσιν ἀ.* C' *ταῖ μὲν γυν.* V 16 *τοῖσι μὲν ἀνδρ. κ. τῇσι γυν.* M 17 *παισὶ* V *ὁκόσοισι δ' ἂν* M, *ὅσοι δ' ἂν* V 18 *οὐρέωσι* MV *ἢν καὶ* C' 19 *ὥσπερ ἐσομένοις* C', *ὥσπερι ἐχομένοισι σημ. ᾖ* M 20 *δὴ* C' 21 *ὑφιστ.* C'

ἀραχνοειδέας μέμφεσθαι· συντήξιος γὰρ σημεῖα. σκοπεῖν δὲ τῶν οὔρων, ἐν οἷς εἰσιν αἱ νεφέλαι, ἤν τε κάτω ἔωσιν ἤν τε ἄνω, καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσιν· καὶ τὰς μὲν κάτω φερομένας σὺν τοῖσι χρώμασιν, οἷα εἴρηται ἀγαθὰ εἶναι, [καὶ] ἐπαινεῖν, τὰς δὲ ἄνω σὺν τοῖσι χρώμασιν, οἷα εἴρηται κακὰ εἶναι, [καὶ] μέμφεσθαι. μὴ ἐξαπατάτω δέ σε, ἤν τι αὐτὴ ἡ κύστις νόσημα ἔχουσα τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ· οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖον, ἀλλ' αὐτῆς καθ' ἑωυτήν.

13. *Ἔμετος δὲ ὠφελιμώτατος φλέγματός τε καὶ χολῆς συμ|μεμειγμένων ὡς μάλιστα καὶ μὴ παχὺς μηδὲ* 144 *πολὺς κάρτα ἐμείσθω· οἱ δὲ ἀκρητέστεροι κακίους. εἰ δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς ἢ πελιδνὸν ἢ μέλαν, ὅ τι ἂν ᾖ τούτων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι· εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέοι, κάρτα ὀλέθριον ἤδη γίνεται· τάχιστον δὲ θάνατον σημαίνει τὸ πελιδνὸν τῶν ἐμεσμάτων, εἰ ὄζοι δυσῶδες· πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεες ὀδμαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισι κακαί.*

1 *σημεῖον* V 2 post *δὲ* add. *χρὴ* MV *εἰσιν* om. MV post *νεφ.* add. *συνίστανται* V post *νεφ.* add. *σὺν τοῖς χρώμασιν ὡς εἴρηται* C′ 3 *ἄνω ἤν τε κάτω ἔωσιν* M *ἰσχύουσιν* M *ὁποῖα σχῶσι* V 4 *τὰ .. φερόμενα* V *σ. τ. χρ. οἷα εἴρ.* om. C′ *σώμασιν* V *οἷσι* (*οἷς* V) *εἴρ. ἀγαθὰς* MV, *οἷα εἴρ. ἀγαθὰ* cod. Med. Foes. 5 *ἀγαθὰς εἰδέναι* C′ *καὶ ἐπαιν.* C′MV *δ'* M 5 et 6 *καὶ* delevi 6 *οἷα* cod. Med. Foes., *οἷς* C′MV *εἴρηκα* C′ *κακὰς εἶναι καὶ μέμφ.* C′MV post *μέμφ.* add. *τὰ τοιάδε* M, *τὰς τοιαύτας* V 7 *τι καὶ αὐτὴ* C′, *τοιαύτη* pro *τι αὐτὴ* V 8 *τὰ* om. M *τ. οὔρ. τι ἀποδῷ τουτέων* V, *τουτέων* add. post *ἀποδ.* C′ 9 *σημ.* om. C′ *σημεῖόν ἐστιν* M *ἀλλὰ τῆς* pro *ἀλλ' αὐτῆς* V *ἑωυτῆς* M 10 *δὲ* pro *τε* M 11 *συμμεμιγμένος* C′ *παχῦς πολὺ κάρτα αἱμείσθω* C′, *παχ. κάρτα μή τε π. ἐμ.* M *μὴ δὲ* V 12 *οἱ γὰρ ἀ. κ. εἰσίν* M 13 *εἴη* om. V post *μέλαν* add. *ᾖ* V 14 *χρὴ νομ.* V 15. 16 *ἐμέοι ἄνθρ., πάνυ ὀλ. γίγν.* V 16 *τάχιστα* M 17 ante *εἰ* add. *καὶ* C′ *καὶ εἰ ὀξυδυσῶδες* C′ 18 *τε καὶ* V *κακαὶ* post *ὀδμαὶ* MV

14. *Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι τοῖσι περὶ τὸν πνεύμονά τε καὶ τὰς πλευρὰς ταχέως τε ἀναπτύεσθαι καὶ εὐπετέως, συμμεμειγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ· εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο ξανθὸν ἐὸν ἢ πυρρὸν ἢ πολλὴν βῆχα παρέχον ἢ μὴ ἰσχυρῶς συμμεμειγμένον, κάκιον γίνεται· τό τε γὰρ ξανθὸν* | 146 *ἄκρητον ἐὸν κινδυνῶδες, τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον ἀλυσιτελές· κακὸν δὲ καὶ χλωρόν τε ἐὸν κάρτα καὶ ἀφρῶδες· εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστιν τοῦτο ἐκείνου· κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται μηδὲ προίῃ ὁ πνεύμων, ἀλλὰ πλήρης ἐὸν ζέῃ ἐν τῇ φάρυγγι. κορύζας δὲ καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πνεύμονα νοσήμασιν κακὸν καὶ προγεγονέναι καὶ ἐπιγενέσθαι· ἀλλ᾽ ἐν τοῖσιν ἄλλοισι τοῖσι θανατώδεσι νοσήμασιν οἱ πταρμοὶ λυσιτελέες. αἵματι δὲ συμμεμειγμένον μὴ πολλῷ πτύελον ξανθὸν ἐν τοῖσι περιπνευμονικοῖσιν ἐν ἀρχῇ μὲν τῆς νούσου ἀναπτυόμενον περιεστικὸν κάρτα· ἑβδομαίῳ δὲ ἐόντι ἢ παλαιοτέρῳ ἧσσον ἀσφαλές. πάντα δὲ τὰ πτύελα πονηρά ἐστιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ· κάκιστα δὲ τὰ μέλανα, ὡς δια-*

1 *δὲ* om. C′ 2 *τε* om. MV *τὰ πλευρὰ* V 5 *ἀναπτύοι τὸ* M 6 *βῆχαν* V *καὶ* (pro *ἢ*) *μὴ* M 7 *συμμεμιγμένον, κακόν· τότε γὰρ* V 8 *τό τε λ. κ. γλισχρὸν* V, *τὸ γλίσχ.* C′ 12 *ἐκείνων* MV *κακὸν … φάρυγγι* om. V *κἢν* M *εἰ* pro *ἢν* C′ *μηθ᾽ ἐν* C′ 13 *προείη* C′ *ζέει* C′ *τῷ φάρ.* M 14 *κορύζας δὲ … λυσιτελ.* (v. 17) transpos. Erm. post *πτυόμενα* (extr. cap. 14) 15 *νοσεύμ.* V *κακὸν* post *ἐπιγεν.* MV *καὶ* ante *προγ.* om. M 16 *νοσήμασι τοῖσι* (*τοῖς* V) *θανατωδεστάτοισιν οἱ πτ. λυσιτελοῦσιν* MV 17 *ξυμμεμιγμένω μ. π. πτυέλων* C′ 18 *καὶ ἐν τοῖσι* C′ *ἐν ἀρχῇσι μὲν περιεστηκὸς ὂν κάρτα* V 19 *πτυόμενον* M *περὶ ἑστηκῶς* C′ *π. καὶ κάρτα ὠφελέει·* M 21 *τὰ* om. MV 22 *παύει* C′, *δύνη* pro *παύῃ* V′

γέγραπται· παύοντα δὲ τὴν ὀδύνην πάντα ἀμείνω ⟨τὰ⟩ πτυόμενα.

15. *Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τούτων τῶν χωρίων μὴ | παύεται μήτε πρὸς τὰς τῶν πτυέλων* 148 *καθάρσιας μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ φαρμακείας καὶ διαίτας, εἰδέναι δεῖ ἐκπυήσοντα. τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυίσκεται, ὀλέθρια κάρτα, εἴτε ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύοιτο εἴτε ὁμοῦ. μάλιστα δέ, ἢν ἄρξηται χωρεῖν τὸ ἐκπύημα ἀπὸ τούτου τοῦ πτυέλου, ἑβδομαίου ἐόντος τοῦ νοσήματος, ἐλπὶς τὸν τὰ τοιαῦτα πτύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτῷ ἐπιγένηται ἀγαθόν. ἔστιν δὲ τὰ μὲν ἀγαθὰ τάδε· εὐπετέως φέρειν τὸ νόσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύελον ῥηϊδίως ἀναβήσσειν, τὸ σῶμα πᾶν ὁμαλῶς θερμόν τε εἶναι καὶ μαλθακὸν καὶ δίψαν μὴ ἔχειν, οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα [εἰδέναι] ἀγαθὰ ἐόντα, ταῦτα ἐπιγενέσθαι· οὕτω μὲν γὰρ τούτων πάντων τῶν σημείων ἐπιγενομένων οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος· ἢν δὲ τὰ*

1 *τὰ παύ. δὲ τὴν ὀδ.* MV *πάντων* M 2 ante *πτυόμ.* addidi *τὰ* *ἀναπτ.* pro *τὰ πτ.* C′ 3 ante *ἐκ* add. *τῶν* M 4 *παύηται* C′V 5 *πρὸς* om. M 6 *τ. φλ. τ. κ. φ. κ. δ.* vulg. *καὶ φάρμ.* om. MV *καὶ διαίτας τε καὶ φαρμ.* C′ 7 *διεκπ.* pro *δεῖ ἐκπ.* M *δ'* MV *ἐμπυημάτ.* C′V 8 *ἔτι τοῦ χολ.* M *ὀλέθριον* MV 9 *ἤν τε . . ἤν τε* M 10 *δ' ἢν* MV *ἄρξοιτο* V *ἐμπ.* MV 11 *ἀπὸ τ. τ. πτ.* om. V 12 post *νοσήμ.* add. *ἢ παλαιοτέρου* C′ post *ἐλπὶς* add. *δὲ* MV *ἀλγέοντα* pro *τὰ τ. πτύοντα* C′ 13 *ἐπιγίγνηται* V 14 *ἔστι μὲν* M[1], mut. in *ἔ. δὲ* *ταῦτα* pro *τάδε* C′ 15 *τὸν* V *τό τε πτύελον . . . τό τε σῶμα* M *πᾶν* om. M 16 post *ὁμαλῶς* add. *φαίνεσθαι* M, *φέρεσθαι* V 17 *εἶναι* om. V 18 *δὲ* f et interpret. Mediol. (*autem*), *τε* codd. rel. 19 *εἴδ.* (= 94, 10) del. Rhd. et Erm. III, CXXV *ἐπιγίν.* sine *ταῦτα* M 20 *πάντ. τουτέων ἐπιγιν.* sine *τῶν σημ.* MV 21 *ἂν* om. C′ *ὤνθρ.* M ut saepius *εἰ δὲ τὸ* V

150 μὲν τούτων ἐπιγένηται, τὰ δὲ μή, πλείω χρόνον | ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας ἀπόλοιτ' ἄν. κακὰ δὲ τἀναντία τούτων· δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ πεπαῦσθαι, τὸ πτύελον μόλις ἀναβήσσειν, διψῆν κάρτα, τὸ σῶμα ὑπὸ τοῦ πυρὸς ἀνωμάλως ἔχεσθαι καὶ τὴν μὲν γαστέρα καὶ τὰς πλευρὰς θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ψυχρά, οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα [εἰδέναι] κακὰ ἐόντα, τούτων εἴ τι ἐπιγίνοιτο τῷ πτυέλῳ τούτῳ, ἀπόλοιτ' ἂν ὁ ἄνθρωπος, πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος ἢ ἑνδεκαταῖος. οὕτως οὖν συμβάλλεσθαι χρή, ὡς τοῦ πτυέλου τούτου θανατώδεος ἐόντος μάλα καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας. τὰ δὲ ἐπιγινόμενα ἀγαθά τε καὶ κακὰ συλλογιζόμενον ἐκ τούτων χρὴ τὰς προρρήσιας ποιεῖσθαι· οὕτω γὰρ ἂν μάλιστα ἀληθεύοις. αἱ δὲ ἄλλαι ἐκπυήσιες αἱ πλεῖσται ῥήγνυνται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.

16. Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυή-
152 ματος [ἔσε|σθαι] λογιζόμενον ἀπὸ τῆς ἡμέρης, ᾗ

1 μέν τι αὐτέων ἐπιγίνοιτο MV τὸ δὲ V 2 ἢ καὶ τεσσ. MV ἀπόλλοιτ' C' M post ἂν add. ὁ ἄνθρωπος M κατὰ pro κακὰ M 4 παύεσθαι MV, πεπαύσθαι C' 6 τό τε σ. M ὑπὸ πυρὸς MV 7 κοιλίην pro γαστ. MV θερμὸς M 8 ψυχρᾶ C', -ούς MV 9 τε pro δὲ C' 10 οὕτως εἴ τι ἐπιγ. V, εἰ δὲ οὕτως ἐπιγ. (τι om.) C', οὕτως εἰ γὰρ ἐπιγ. τι M, εἰ γὰρ τούτων ἐπιγέν. τι f 11 τουτέων MV ἀπόλλοιτο M ὁ om. V 12 ἢ om. V et post πρὶν et ante ἐνατ. 14 post πτ. add. μὲν C' 15 οὐ om. V post ἡμ. add. ἀφηκνέεσθαι C' 16 κακά τε κ. ἀ. M ἐκ τούτων om. V 17 τὰς πρ. προλέγειν M 18 ἀληθ. μάλ. V, ἄν τις ἀληθεύοι μάλ. M 18. 19 ῥήγν. αἱ πλ. M 23 ἔσεσθαι del. Wil. τῆς πρώτης ἡμ. C' ἧς M, ἣν pro ᾗ C'

τὰ πρῶτα ὁ ἄνθρωπος ἐπύρεξεν ἢ ᾗ ποτε αὐτὸν ῥῖγος ἔλαβεν καὶ ᾗ φαίη ἀντὶ τῆς ὀδύνης αὐτῷ βάρος ἐγγενέσθαι ἐν τῷ τόπῳ, ᾧ ἤλγει· ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων. ἐξ οὖν τούτου τοῦ χρόνου χρὴ προσδέχεσθαι τοῦ πύου ἔσεσθαι τὰς ῥήξιας ἐς τοὺς χρόνους τοὺς προειρημένους. εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τούτοισι, μή τι ἔχει ἄλγημα ἐν τῷ πλευρῷ· καὶ ἤν τι θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, κατακεκλιμένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν ἐρωτᾶν, εἴ τι δοκεῖ βάρος αὐτῷ ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν. εἰ γὰρ εἴη τοῦτο, ἐκ τοῦ ἐπὶ θάτερά ἐστι τὸ ἐμπύημα, ἐφ' ὁκοτέρῳ ἂν πλευρῷ τὸ βάρος ἐγγίνηται.

17. *Τοὺς δὲ σύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσδε τοῖς σημείοισι· πρῶτον μὲν ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, ἐς νύκτα δὲ πλείων, καὶ ἱδρῶτες | πολλοὶ γίνονται, βῆξαί τε* 154
θυμὸς αὐτοῖσιν ἐγγίνεται καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον

1 *τὸ πρῶτον* MV *ἢ* om. C′ *εἴ* pro *ᾗ* C′MV, *ᾗ* cod. Med. Foes. Wil. ante *ῥῖγος* add. *πρῶτον* MV 2 *καὶ ἐὰν φαίνει* C′ *κ. εἰ φ.* MV, *ᾗ* Wil. *βάρ. αὐτ.* MV *γεγενῆσθαι* M, *ἐγγεγενῆσθαι* V 3 *τοπῶο* C′ ante *ᾧ* add. *ἐν* M *ᾧ* minus clarum in C′ 4 *γίγνονται* C′ *τουτέων τῶν χρόνων* MV 5 *τὴν ῥῆξιν χρ. πρ. τῶν ἐμπυημάτων* (*τοῦ πυόν* V) *ἔσ. ἐς τ. χρ.* MV, *τοῦ πυοῦ γενέσθαι τὰς ῥίξεις τῶν ἐμποιημάτων εἰς τ. χρ.* C′ 7 *στρέφ. τε* (*ἐπὶ*) *καὶ* om. V 8 *ἔχῃ* MV *ἐν* V 9 *ἑτέρῳ πλευρῷ* M *κἢν* V *τι* om. M *τὸ* om. C′ *τὸ ἕτερον* om. V *θατέρου* V 10 *κατακεκλιμένω* C′, *κατακλινομένου* M *τῶ ὑγιεινῶ πλευρῶ δι' ερωτᾶν ἤν τι* C′ *εἴ τι αὐτῷ δοκέει βαρὺ* M, *εἰ δοκέει βάρος* (*τι αὐτῷ* om.) V 12 *ἐκ τοῦ* om. M *ἐπὶ θάτερόν* C′MV[1] (corr. ead. m.) *ἐφ' . . . ἐγγίν.* om. V 13 *ἐπὶ ὁκοῖον ἂν πλευρὸν τ. β. γίνηται* M 15 *τοῖς δὲ τ.* C′, *τοισίδε τοῖσι* M, *τοῖσι τ.* V 16 *τὴν δὲ ν.* pro *ἐς ν. δὲ* M 17 *πλείω* C′M *πολλοὶ* om. V *ἐπιγίν.* MV *βῆχές τε* M 18 *αὐτοῖσιν* om. V, *ἐγγίν. αὐτέοισι* M *οὐθὲν* M

λόγου, καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίνονται, αἱ δὲ γνάθοι ἐρυθήματα ἴσχουσιν, καὶ οἱ ὄνυχες τῶν χειρῶν γρυποῦνται καὶ οἱ δάκτυλοι θερμαίνονται καὶ μάλιστα τὰ ἄκρα, καὶ ἐν τοῖσι ποσὶν οἰδήματα γίνεται ἱστάμενα καὶ καταπαυόμενα καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα καὶ σιτίων οὐκ ἐπιθυμέουσιν.

Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἴσχει τὰ σημεῖα ταῦτα καὶ πιστεύειν αὐτοῖσι χρὴ κάρτα· ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεται, τοιούτων ἤν τι ἐπιφαίνηται, οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν, ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος. τὰ δὲ ταχύτερόν τε καὶ βραδύτερον ῥηγνύμενα γινώσκειν χρὴ τοῖσδε τοῖς σημείοισι· ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γίνηται καὶ ἡ δύσπνοια καὶ ἡ βὴξ καὶ ὁ πτυελισμὸς διατελῇ ἔχων, ἐς τὰς εἴκοσι ἡμέρας προσδέχεσθαι τὴν ῥῆξιν ἢ καὶ ἔτι πρόσθεν· ἢν δὲ ἡσυχέστερος ὁ πόνος ᾖ καὶ τὰ ἄλλα πάντα κατὰ λόγον, τούτοισι 156 *προσδέχεσθαι τὴν | ῥῆξιν ὕστερον· προγενέσθαι δὲ ἀνάγκη καὶ πόνον καὶ δύσπνοιαν καὶ πτυελισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος.*

Περιγίνονται δὲ τούτων μάλιστα οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν καὶ σιτίων ταχέως

2 *οἱ μὲν ὄν.* MV 3 *οἱ δὲ* pro *καὶ οἱ* MV 4 *ἄκροι* pro *τὰ ἄ.* MV *ἱσταμ. κ. καταπ.* om. MV 5 *καὶ φλύκτ. γ. ἀ. τ. σ.* post *καὶ σιτ. οὐκ ἐπιθ.* MV 7 *ἔχει* MV 8 *κάρτα χρή* V 9 *ἐστι* om. C′ *τουτέοισιν ἐπισημαίνεται* C′, *σημαίνεσθαι τουτέων* MV 10 *τῇσιν* MV *ἐξ ἀρχῆς* C′ 11 *ἢ* pro *ᾖ* C′ 12 post *ταχύτ.* add. *αὐτέων* MV *τε* om. MV *ῥησσόμενα* C′V 13 *τοῖς δὲ* C′, *τοῖσιδε* V *τ. γινώσκ. χρὴ* (*τοῖς σημ.* om.) MV *εἰ* pro *ἢν* C′ *ἀρχῇ* C′ 14 *γένηται* C′V, *γένεται* M *καὶ ὁ πτ. κ. ἡ β.* C′ 15 *διατείνῃ* MV *ἐς τ. εἴκ. ἡ. ἔχων* M 16 *τὴν ῥῆξ. ἢ* om. V *ῥίξιν καὶ ἔμπροσθεν* C′ 17 *τἆλλα* V *κ. λ. ἢ τουτέοισι* C′, *τουτέοισι* (*-έοις* M) *κ. λ. τουτέου προσδ.* MV 18 *γίνεσθαι* MV 20 *πτύου* V *πτύσεως* pro *ῥήξ.* C′ 21 post *μάλ.* add. *μὲν* MV 21. 22 *αὐθ. ὁ π. ἀφῇ* V

ἐπιθυμέωσιν καὶ δίψης ἀπηλλαγμένοι ἔωσιν καὶ ἡ γαστὴρ σμικρά τε καὶ συνεστηκότα διαχωρῇ καὶ τὸ πῦον λευκόν τε καὶ λεῖον καὶ ὁμόχροον ἐκχωρῇ καὶ φλέγματος ἀπηλλαγμένον καὶ ἄνευ πόνου τε καὶ βηχὸς ἀνακαθαίρηται. ἄριστα μὲν οὕτω καὶ τάχιστα ἀπαλλάσσουσιν· εἰ δὲ μή, οἷσιν ἂν ἐγγυτάτω τούτων γίνηται. ἀπόλλυνται δὲ οὓς ἂν ὁ πυρετὸς αὐθημερὸν μὴ ἀφῇ, ἀλλὰ δοκέων ἀφιέναι αὖθις φαίνηται ἀναθερμαινόμενος, καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσιν καὶ ἡ κοιλίη ὑγρὴ ᾖ καὶ τὸ πῦον χλωρὸν καὶ πελιδνὸν ἢ φλεγματῶδες καὶ ἀφρῶδες. οἷσι ταῦτα πάντα γίνεται, ἀπόλλυνται· ὁκόσοισι δὲ τούτων τὰ μὲν γίνεται, τὰ δὲ μή, οἱ μὲν αὐτῶν ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγί νονται. ἀλλ' ἐκ πάντων τῶν τεκμηρίων τῶν 158
ἐόντων ἐν τούτοισι τεκμαίρεσθαι καὶ τοῖσιν ἄλλοισιν ἅπασιν.

18. Ὁκόσοισι δὲ ἀποστάσιες γίνονται ἐκ τῶν περιπνευμονικῶν νοσημάτων παρὰ τὰ ὦτα καὶ ἐκπυέουσιν ἢ ἐς τὰ κάτω χωρία καὶ συριγγοῦνται, οὗτοι δὲ περιγίνονται. ὑποσκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα ὧδε· ἢν

1 ἐπιθυμοῦσι MV ἔεισι V 2 διαχωρέει C′, ὑποχωρέῃ V, ὑποχωρέει M 3 ᾖ pro ἐκχ. MV, ἐκχωρέει C′ 4 ἄτερ pro ἄνευ MV 5 βηχὸς ἰσχυρῆς MV ἀνακαθ. om. MV, ἀνακαθαίρεται C′, ἀνίει Med. Foes. οὖν οὕτως MV 6 γίγνοιτο C′ 7 οἷς C′ ὅ τε πυρ. M αὐθήμ. C′, αὐθ. om. MV ἀφείη M, ἀφίεῖ V post ἀφ. add. μετὰ τὴν ῥῆξιν C′ 8 καὶ pro ἀλλὰ MV post δοκ. add. αὐτέους MV 9 μὴ om. V οὐκ C′ 10 ᾖ om. C′ χλ. ἢ καὶ πελ. ἢ πτύη V πελ. πτύῃ ἢ φλεγμ. M, πελ., τὸ δὲ πτύελον φλ. C′ 11 ᾖ φλεγμ. κ. ἀφρ. V ἢν (pro οἷσι) . . γίγνηται M οἷσιν ἂν C′ 12 ἀπόλυνται C′ δ' ἂν τ. τ. μ. ἐπιγένηται MV γένονται C′ 15 σημαίνεσθαι MV ἄλλοισι πᾶσιν M 16 ἅπασιν om. V 18 νοσ. om. V, M i. m. ab ead. man. περὶ τ. ὦ. V ἐκπύουσιν M, ἐκποιέουσιν V 19 ἢ om. MV οὗτοι δὲ om. V 20 ἐπισκέπτ. vulg.

ὅ τε πυρετὸς ἔχῃ καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ καὶ τὸ πτύελον μὴ ἐκχωρῇ κατὰ λόγον, μηδὲ χολώδεες αἱ διαχωρήσιες τῆς κοιλίης ἔωσι μηδὲ εὔλυτοι καὶ εὔκρητοι γίνωνται, μηδὲ τὸ οὖρον παχύ τε κάρτα καὶ πολλὴν | 160 *ὑπόστασιν ἔχον, ὑπηρετῆται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστικῶν σημείων, τούτοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἄν τι περὶ τὸ ὑποχόνδριον τοῦ φλέγματος ἐγγίνηται, αἱ δὲ ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελῇ ἐόν, δύσπνοος δέ τινα χρόνον γενόμενος ἄτερ φανερῆς προφάσιος ἄλλης παύσεται.*

Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπνευμονίῃσι τῇσιν ἰσχυρῇσι καὶ ἐπικινδύνοισι λυσιτελέες μὲν πᾶσαι, ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἐόντος ἤδη γινόμεναι· εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίνοιτο, τοῦ πτυέλου ἀντὶ τοῦ ξανθοῦ πυώδεος γινομένου καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα ὅ τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις τάχιστα ἀνώδυνος ἂν παύσαιτο· εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέοι

1 *ἔχει* C′ *παύηται* MV 2 *πτύον μὴ χωρέῃ* V *μὴ δὲ* V ut infra quoque *αἱ τ. κοιλ. διαχ.* MV 3 *ἔωσι* om. MV, *ἐῶσιν* C′ *εὔλυτοί τε καὶ* MV *εὔκριτοι* C′, *ἄκρητοι* MV 4 *γίνωνται* r, *γί(γ* V)*νονται* C′V *γίνοιντο καὶ* M *τὸ* om. C′ *πολὺ* pro *παχὺ* MV 5 *ἔχων* C′ *ὑπηρετεῖτε* C′ *περὶ ἑστηκὼς* M, *περιεστηκὸς* V 6 *περιεστηκότων* C′V 7 *αυτας* (sic) pro *τοιαύτας* C′ 8 *δ᾽* V *αἱ* ss. M[2] *ἐπὶ* pro *ἐς* C′ *τι* om. C′ *τὰ* pro *τι* M *τὰ ὑποχόνδρια* MV, *τὰ ὑποχόνδριαν* C′ 9 *τι ἐγγ.* M, *γίγνηται* V *οἷσι μὲν τὸ ὑπ.* M 10 *λαμπαρόν* C′, *λαγαρόν* V 11 *ἐόν* om. M *παύσηται* post *γενόμ.* MV 13 post *δὲ* add. *ἄλλαι* C′ 14 *τῇσι σχυρῇσι* C′ *τε καὶ* M 15 *ἅπασαι* V *δ᾽* V 16 *ἤδη* om. MV 17 *τοῦ* om. MV 19 *τάχιστα* om. C′ 19. 20 *τάχ. ἀνωδύνως* V, *ἀνώδυνος τάχ.* M 20 *ἀνοδύνως* C′ *ἂν* om. MV *παύσαιτο* r, *παύσοιτο* VC′, *παύσεται* M *ἐκχωρέῃ* M, *-έει* V

καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος γενέσθαι χωλὸν τὸ | ἄρθρον ἢ πολλὰ πρήγ- 162
ματα παρασχεῖν. εἰ δὲ ἀφανίζοιντο αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντος τοῦ τε πυρετοῦ ἔχοντος, δεινόν· κίνδυνος γάρ, μὴ παραφρονήσῃ καὶ ἀποθάνῃ ὁ ἄνθρωπος. τῶν δὲ ἐμπύων τῶν ἐκ τῶν περιπνευμονικῶν νοσημάτων οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται· ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

19. *Αἱ* δὲ σὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, ἐκλείπουσαι τὰ κάτω χωρία, ὀλέθριαι κάρτα. προσέχειν οὖν δεῖ τὸν νόον καὶ τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων πονηρὸν ἐπιφαίνηται, ἀνέλπιστος ὁ ἄνθρωπος· εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας τὰ ἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνοιτο, ἔμπυον ἔσεσθαι πολλαὶ ἐλπίδες τοῦτον.

| *Κύστιες* δὲ σκληραί τε καὶ ἐπώδυνοι δειναὶ μὲν 166
πᾶσαι· ὀλεθριώταται δὲ ὁκόσαι σὺν πυρετῷ συνεχεῖ γίνονται· καὶ γὰρ οἱ ἀπ᾽ αὐτέων τῶν κυστίων πόνοι ἱκανοὶ ἀποκτεῖναι, καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐπὶ τῶν τοιούτων, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην.

1 μὴ δὲ C′ φαίνηται V 2 χωλ. γεν. M 3 ἢν δ᾽ ἀφανίζονται M, ἢν δὲ ἀφανίζωνται V post ἀφαν. add. καὶ παλινδρομέ(ου M)ωσιν C′M (om. V f interpr. Mediol.) τοῦ τε πτ. C′ 4 τοῦ τε πυρ. ἔχ. om. V, τοῦ πυρ. τε ἔχ. M 5 τε καὶ V 7 νοσημ. om. MV γεραίτεροί τε M ἀποθνήσκ. C′ 8 ἀπόλλυνται C′, de eis, quae h. l. add. C′ cf. praefat. p. 77 9 γιν. ὀδ. M 11 τὰ κάτω (χωρ om.) ἐκλ. MV ἐκλίπ. M ὀλέθριον C′ 12 τὸ νοῦν C′ καὶ om. MV 14 ὁ om. V, de eis, quae post ἄνθρ. vulgo sequuntur cf. praef. p. 77 δ᾽ αὖ pro δέ C′V 15 καὶ τὰ ἄ. C′ 16 ἐπιγίνηται M, ἐπιφαίνηται C′ τ. π. ἐλ. V ἔμπ. ἔ. πολλὰ ἐλ. τούτων σωθῆναι C′ 17 ἀπόδ. M, ἐπόδυναι C′ 18 παντελῶς pro πᾶσαι M ante ὀλεθριώτ. add. καὶ ὀλέθριοι M δ᾽ V 19 οἱ γὰρ ἀπ᾽ C′ 20 ἐν τουτέῳ τῷ χρόνῳ MV pro ἐπὶ τ. τ. 21 σκληρόν V

λύει δὲ οὖρον πυῶδες οὐρηθέν, λευκὴν καὶ λείην ἔχον 168 *ὑπόστασιν· ἢν δὲ μήτε τὸ οὖρον μηδὲν ἐνδῷ μήτε ἡ κύστις μαλθαχθῇ ὅ τε πυρετὸς συνεχὴς ᾖ, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος ἐλπὶς τὸν ἀλγέοντα ἀποθανεῖσθαι. ὁ δὲ τρόπος οὗτος μάλιστα τῶν παιδίων ἅπτεται τῶν ἀπὸ ἑπτὰ ἐτέων, ἔστ' ἂν πεντεκαιδεκαετέες γένωνται.*

20. *Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμόν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυνται. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν· οἱ δὲ κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτῶν οὕτω τελευτᾷ· ἡ δὲ δευτέρη ἐς τὴν ἑβδόμην περιάγει, ἡ δὲ τρίτη ἐς τὴν ἑνδεκάτην, ἡ δὲ τετάρτη ἐς τὴν τεσσαρεσκαιδεκάτην, ἡ δὲ πέμπτη ἐς τὴν ἑπτακαιδεκάτην, ἡ δὲ ἕκτη ἐς τὴν εἰκοστήν. αὗται μὲν ἐπὶ τῶν ὀξυτάτων νοσημάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσιν ἐκ προσθέσιος τελευτῶσιν. οὐ δύναται δὲ ὅλῃσιν ἡμέ-* 170 *ρῃσιν | ἀριθμεῖσθαι οὐδὲν τούτων ἀτρεκέως· οὐδὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσιν πεφύκασιν ἀριθμεῖσθαι.*

Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτῷ τρόπῳ κατὰ τὴν αὐτὴν

1 *ἢ λευκὴν* V 2 *τὴν ὑπόστ.* MV *ἐνδωῖ* r, *ἐνδοίη* C', *ἐνδιδώῃ* M, *ἐνδιδῷ* V post *ἐνδῷ* add. *ὁ πόνος* MV 3 *μαλθάσσοιτο* MV *μήτε ὁ πυρ.* M *ἔσται* pro *ᾖ* C', *εἴη* V 5 *ἀπολέσθαι* M, *ἀπολεῖσθαι* V 5. 6 *ἅπτ. τ. π. μάλ.* M 6 *τῶν ἑπταετέων* M *πέντεκαιδεκαταῖα* M 11 *ἀσφαλέστατα τῶν β.* M 12 *εἰ* pro *ἢ* C' *οἵ τε* M, *οἵ τε δὲ* V post *κακοηθ.* add. *τῶν πυρετῶν* C' 13 *βεβῶτες* pro *γιν.* (= Schol. p. 202) V 15 *περιάγεται* MV 18 *μὲν οὖν* MV *ἐπὶ* f, *ἐκ* C'MV 19 *ἐκ* om. C' 20 *προσθέσιας* C', *προθέσιος* M *δύνανται* C' 21 *οὐδ. τούτ. ἀριθμ.* MV 24 *ταύτας* V *καὶ κατὰ* C'

πρόσθεσιν ἡ μὲν πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων, ἡ δὲ δευτέρη τεσσαράκοντα ἡμερέων, ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων. τούτων δὲ ἐν ἀρχῇσίν ἐστι χαλεπώτατα προγινώσκειν τὰ μέλλοντα ἐν πλείονι χρόνῳ κρίνεσθαι· ὁμοιόταται γὰρ αἱ ἀρχαὶ αὐτῶν εἰσιν· ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμεῖσθαι καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι καὶ οὐ λήσει, ὅπῃ τρέψεται. γίνεται δὲ καὶ τῶν τεταρταίων ἡ κατάστασις ἐκ τούτου τοῦ κόσμου. τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι εὐπετέστερα γινώσκεσθαι· μέγιστα γὰρ τὰ διαφέροντα αὐτῶν ἐστιν ἀπ' ἀρχῆς· οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσιν καὶ κοιμῶνται τὰς νύκτας τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα· οἱ δὲ ἀπολούμενοι δύσπνοοι γίνονται, ἀγρυπνέοντες, ἀλλοφάσσοντες τά τε ἄλλα σημεῖα ἔχοντες κάκιστα. ὡς οὖν τούτων | 172 *προγινωσκομένων συμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον καὶ κατὰ τὴν πρόσθεσιν ἑκάστην ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νοσημάτων. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται.*

21. *Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ συνεχέες σὺν πυρετῷ, εἰ μέν τι τῶν θανατωδέων σημείων προσγίνοιτο, ὀλέθριον κάρτα· εἰ δὲ ἄτερ σημείων τοιούτων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας ὅ τε πυρετὸς*

1 *μὲν* om. MV 3 *δ' ἐν* MV 4 *πλείστῳ* MV 5 post *χρόνῳ* add. *ἢ ἐλάσσονι* C′ *ἀρχαί εἰσιν αὐτέων* MV 8 *λήσεται* M post *τρέψ.* add. *τὸ νόσημα* MV 8. 9 *ἡ τ. τ. κατάστ. ἐκ τοῦ τοιούτου κ.* MV 10 *δ'* V 11 *γινώσκεται* C′ 11. 12 *ἀπ' ἀρχ. αὐτέων ἐ.* MV 12 *εὔπνοιοι* M, *εὔπνοιαν ἔχουσι καὶ* V 14 *εὐκαλλέστατα* C′ *ἀπολλύμενοι* MC′ 15 *ἀλλοφ. ἀγρυπν.* MV 16 *κάκ. ἔχ.* MV 17 *οὕτω γιγνομένων* pro *προγινωσκ.* MV *χρόνον κατά τε* MV 19 *εἰόντων* C′, *ἐόντ.* mut. ead. m. in *ἰόντ.* V *λόγον* pro *τρόπ.* MV 22 *ἢν* C′ 24 *ὑπερβάλλει* C′

ἔχοι, ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν ἢ ἄλλην ἀπόστασιν ἐς τὰ κάτω χωρία. ἔστ᾽ ἂν δὲ ἡ ὀδύνη ᾖ νεαρά, προσδέχεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν ἢ ἐκπύησιν, ἄλλως τε καὶ ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους ᾖ καὶ τὸ μέτωπον. μᾶλλον δὲ χρὴ τοῦ μὲν αἵματος τὴν ῥῆξιν προσδέχεσθαι τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, τοῖσι δὲ γεραιτέροισι τὴν ἐκπύησιν. |

174 22. *Ὠτὸς δὲ ὀδύνη ὀξεῖα σὺν πυρετῷ συνεχεῖ τε καὶ ἰσχυρῷ δεινόν· παραφρονῆσαι γὰρ κίνδυνος τὸν ἄνθρωπον καὶ ἀπολέσθαι. ὡς οὖν τούτου τοῦ τρόπου σφαλεροῦ ἐόντος ὀξέως δεῖ προσέχειν τὸν νόον καὶ τοῖσιν ἄλλοισι σημείοισι ἅπασιν ἀπὸ τῆς πρώτης ἡμέρης. ἀπόλλυνται δὲ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι καὶ ἔτι θᾶσσον ὑπὸ τούτου τοῦ νοσήματος, οἱ δὲ γέροντες πολλῷ βραδύτερον· οἱ γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι ἧσσον αὐτοῖσιν ἐπιγίνονται, καὶ τὰ ὦτα αὐτοῖσι διὰ τοῦτο φθάνει ἐκπυεύμενα· ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγενόμεναι ἀποκτείνουσιν τοὺς πλείστους· οἱ δὲ νεώτεροι, πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. ἐπὴν δὲ ῥυῇ πῦον λευκὸν ἐκ τοῦ ὠτός, ἐλπὶς περιγενέσθαι τῷ νέῳ, ἤν τι καὶ ἄλλο χρηστὸν αὐτῷ ἐπιγένηται σημεῖον.*

1 *ἔχει* C′ V ante *χρὴ* add. *δὴ* C′ *ἢ ἄλλως* (*ἢν* suprascr.) V *ἢ . . . ῥινῶν* om. C′ 3. 4 *ἢ ἐκπ. διὰ ῥινῶν* M, *διὰ ῥιν.* om. V 4 *ἐμπύησιν* V *κἢν* MV *ἢ περὶ* C′ 5 *ἢ* C′ *κροτ. τε καὶ τ. μ. ᾖ* MV *χρὴ προσδέχ.* MV 8 *ἐμπύησιν* C′ 9 *ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες σὺν πυρ. δειναὶ μὲν πᾶσαι* C′ *ὀξ. ὀδ.* MV 10 *κινδ. γ. παραφρ.* MV 11 *τοῦ τρόπου* om. V, *τόπου* C′ 12 *ταχέως* pro *ὀξέως* MV 12. 13 *καὶ* et *ἄλλοισι* om. MV 13 *πᾶσι* M, *πᾶσιν* V 15 *τοῦ νόσ. τουτέου* MV 16 *οἵ τε γὰρ* MV 18 *αὐτοῖσι* om. MV *διὰ ταῦτα* C′ *ἐκπυΐσκεσθαι* MV 20 *ἐπιγιν.* MV 21 *ἐπήν γε* M, *ἐπεὶ ἤν γε* V 22 *ῥυῇ* om. C′, *ῥεύσῃ* V *λευκὸν* om. V 23 *νοσέοντι* pro *νέῳ* C′ *αὐτῷ ση. χρ. ἐπιγ.* C′

23. *Φάρυγξ δὲ ἑλκουμένη σὺν πυρετῷ δεινόν· ἀλλ'*
ἤν τι | καὶ ἄλλο σημεῖον ἐπιγένηται τῶν προκεκριμέ- 176
νων πονηρῶν εἶναι, προλέγειν ὡς ἐν κινδύνῳ ἐόντος
τοῦ ἀνθρώπου. αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι
καὶ τάχιστα ἀναιρέουσιν, ὁκόσαι μήτε ἐν τῇ φάρυγγι
μηδὲν ἔκδηλον ποιέουσι μήτε ἐν τῷ αὐχένι, πλεῖστον
δὲ πόνον παρέχουσι καὶ ὀρθόπνοιαν· αὗται γὰρ καὶ
αὐθημερὸν ἀποπνίγουσι καὶ δευτεραῖαι καὶ τριταῖαι
καὶ τεταρταῖαι. ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως
ἔχουσι πόνον τε παρέχουσιν, ἐπαίρονται δὲ καὶ ἐρύ-
θημα ἐν τῇ φάρυγγι ἐμποιέουσιν, αὗται ὀλέθριαι μὲν
κάρτα, χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν. ὁκό-
σοισι δὲ συνεξερεύθει ἡ φάρυγξ καὶ ὁ αὐχήν, αὗται
μὲν χρονιώτεραι, καὶ μάλιστα ἐξ αὐτέων περιγίνονται,
ἢν ὅ τε | αὐχὴν καὶ τὸ στῆθος ἐρύθημα ἴσχωσιν καὶ 178
μὴ παλινδρομῇ τὸ ἐρυσίπελας ἔσω. ἢν δὲ μήτε ἐν
ἡμέρῃσι κρισίμῃσι τὸ ἐρυσίπελας ἀφανίζηται μήτε
φύματος συστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πῦον
ἀποβήσσῃ ῥηϊδίως τε καὶ ἀπόνως, θάνατον σημαίνει

1 *φάρυξ* (ut saepius) *δὲ ἡλκομένη* C′ post *δειν.* add. *μὲν* C′ 2 *ἀλλὰ καὶ ἤν τι ἄ.* C′ 2 *γένηται* MV 3 *πονηρὸν* C′MV, *-ῶν* vulg. *εἶναι* om. C′ 4 *συνάγχαι* M *δειναὶ μὲν πᾶσαι καὶ ἐπικίνδυνοι τάχ. ἀναιρέουσαι* C′ 5 *ὁκόσαι ε ἐν* C′ *μητ'* utroque loco MV 6 *ἔκδ. μηδὲν* V 7 *τε* pro *δὲ* MV 8 *δευτεραῖον κ. τριταῖον κ. τεταρταῖον* MV 9 *ὅσαι* M *παραπλήσιον* C′ 10 *ἔχουσι* om. MV *τε* r, *τε* om. MV, *δὲ* C′ *ἐπαίρεται* M *τε* pro *δὲ* C′ *ἐρυθήματα* MV 11 *ποιέουσι* MV *αὗται* om. MV 12 *ὀλίγῳ* pro *μᾶλλον* V post *πρόσθεν* add. *ἢν τὸ ἐρύθημα μέγα γίγνεται* M 13 ita Erm. in epimetro t. III, p. CXXVII, *συνεξερυθεῖ* C′, *ξυνερευθίη* M, *συνεξαιρεθῇ* V *ἡ* om. C′M *ὁ* om. C′ *αὐταὶ* C′ 14 *δὲ* pro *μὲν* MV *τινὲς περιφεύγουσιν* pro *περιγίν.* M 15 *ἐρυθήματα* C′V *ἔχωσιν* C′, *ἔχει* M 16 *παλινδρομέει* C′ *ἔσω* om. V 17 *ἀφαν. τ. ἐρ(ύθημα* V). MV 18 *ἔσω* V 19 *ἀποβήξῃ* V, *ἀπορήξῃ* C′ *ῥηϊδίως. ὅ τε ἄνθρωπος ἀπόνως ἔχειν δοκέει* C′, *ῥηϊδ., ἀπόνως δὲ ἔχειν δοκέῃ* V

ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος. ἀσφαλέστατον δὲ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι· ἢν δὲ ἐς τὸν πνεύμονα τρέπηται, παράνοιάν τε ποιεῖ καὶ ἔμπυοι [ἐξ αὐτῶν] γίνονται ὡς τὰ πολλά.

[Οἱ δὲ γαργαρεῶνες ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι καὶ ἀποσχάζεσθαι, ἔστ' ἂν ἐρυθροί τ' ἔωσι καὶ μεγάλοι· καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τούτοισι καὶ αἱμορραγίαι· ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρῆσθαι κατισχναίνειν ἐν τούτῳ τῷ χρόνῳ. ὁκόταν δὲ ἀποκριθῇ ἤδη, ὃ δὴ σταφυλὴν καλέουσι, καὶ γένηται 180 *τὸ | μὲν ἄκρον τοῦ γαργαρεῶνος μέζον καὶ πελιδνόν, τὸ δὲ ἀνωτέρω λεπτότερον, ἐν τούτῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. ἄμεινον δὲ καὶ ὑποκενώσαντα τὴν κοιλίην τῇ χειρουργίῃ χρῆσθαι, ἢν ὅ τε χρόνος συγχωρῇ καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος.]*

24. *Ὁκόσοισι δ' ἂν οἱ πυρετοὶ παύωνται μήτε σημείων γενομένων λυτηρίων μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι τούτοισιν. ὅστις δ' ἂν τῶν πυρετῶν μηκύνῃ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονήν τινα μήτε διὰ πρόφασιν ἄλλην μηδεμίαν ἐμφανέα, τούτῳ προσδέχεσθαι ἀπόστασιν μετ' οἰδήματός τε καὶ ὀδύνης*

1 *ἀποτροπὴν* V *ἀσφαλέστερον* M post *δὲ* add. *τὸ οἴδημα καὶ* M, *τὸ ἐρύθημα* om. V 2 *ὡς μάλ. τὸ ἐρ.* C′ *δ'* V post *τρέπεσθαι* add. *καὶ τὰς ἑτέρας ἀποστάσιας ἀμφοτέρας ἔξω τρέπεσθαι* C′ 3 *τράπ.* V, *τρέπονται* C′ (*παρά*)*νοιάν τε .. γεραιτέροισιν* (p. 106, 19) om. C′ *τε* om. V 4 *ἐξ αὐτῶν*, quae vulgo ex superioribus huc illata iterantur, expunxi, cf. Herm. XXV, p. 140 *ὡς τὰ π. γιν.* V 5—15 del. Erm. 6 *διασχίζεσθαι* M *τε ὦσι*(*ν* M) MV 9 *καὶ ἰσχναίνειν* V *ὅταν δ'* V 10 post *ἤδη* add. *πᾶν* V *ὅλη* pro *ὃ δὴ* M 11 *τε καὶ περιφερὲς* pro *καὶ πελ.* M Gal. comm. 15 *ὤνθρ.* V 18 *πρὸς τούτ.* (?) M 21 *μηδὲ μίαν* V 22 *μετ'* om. V, superscr. M^2

ἔς τι τῶν ἄρθρων καὶ οὐχ ἧσσον τῶν κάτω. μᾶλλον
δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀπο-
στάσιες τοῖσι νεωτέροισι τριήκοντα ἐτέων. ὑποσκέ-
πτεσθαι δὲ χρὴ εὐθέως τὰ περὶ τῆς ἀποστάσιος, ἢν
εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ. τοῖσι δὲ
γεραιτέροισιν | ἧσσον γίνεται πολυχρονιωτέρου ἐόν- 182
τος τοῦ πυρετοῦ. χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν
προσδέχεσθαι συνεχέος ἐόντος τοῦ πυρετοῦ, ἐς δὲ
τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ τε καὶ κατα-
λαμβάνῃ πεπλανημένον τρόπον καὶ ταῦτα ποιέων τῷ
φθινοπώρῳ πελάζῃ. ὥσπερ δὲ τοῖσι νεωτέροισι τριή-
κοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι
μᾶλλον τοῖσι τριηκονταέτεσι καὶ γεραιτέροισιν. τὰς δὲ
ἀποστάσιας εἰδέναι χρὴ τοῦ χειμῶνος μᾶλλον γινομένας
χρονιώτερόν τε παυομένας, ἧσσον δὲ παλινδρομεούσας.

Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ κεφα-
λὴν ἀλγεῖν καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν
γίνεσθαι ἢ καὶ καρδιωγμὸς τούτῳ προσγένηται, χολώ-
δης ἔμετος παρέσται· ἢν δὲ καὶ ῥῖγος προσγένηται καὶ
τὰ κάτω τοῦ ὑποχονδρίου ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι
ὁ ἔμετος παρέσται· ἢν δέ τι πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον
τὸν χρόνον, κάρτα | ταχέως ἐμεῖται. τούτων δὲ οἷσιν 184
ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, τεταρ-

1 ἐκ τῶν ἄρθρ. V, ἔς τι i. ras. M² post ἧσσον add. ἐκ V, ἐκ semiras. M, om. f Gal. i. t. 2 αἱ ἀποστάσηες αἱ τοιαῦται V 3 τριακ. V 4 τὰ om. V 5 ἔχων om. V 7 πυρετοῦ ... ἐόντος τοῦ om. V 9 ἐπιλαμβ. πεπλανημένων V 10 πάντα ταῦτα V 11 πελάζῃ r, προσπελάσῃ M, πελάσῃ V Erot. ante τριήκ. add. τῶν M 12 γίνονται ss. M² 13 τριήκοντα ἔτεσι MV 15 ἧσσον τὲ V 16 ante κεφ. add. τὴν C'M θαν. κεφ. ἀλγεείνη καὶ V 18 γίγνηται V, φαίνεσθαι vulg. καὶ ante καρδ. om. V 19 γένηται V 20 ἔτι om. V 21 ante πίῃ add. καὶ V 23 τῇ πρ. ἡμ. ὁ πόν. V

ταῖοι πιέζευνται μάλιστα καὶ πεμπταῖοι· ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται· οἱ μέντοι πλεῖστοι αὐτῶν ἄρχονται μὲν πονεῖσθαι τριταῖοι, χειμάζονται δὲ μάλιστα πεμπταῖοι· ἀπαλλάσσονται δὲ ἐναταῖοι ἢ ἑνδεκαταῖοι· οἳ δ' ἂν ἄρξωνται πεμπταῖοι πονεῖσθαι καὶ τὰ ἄλλα κατὰ λόγον αὐτοῖσι τῶν πρόσθεν γίνηται, ἐς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶν ἐν τοῖσι τριταίοισι μάλιστα· τοῖσι δὲ νεωτέροισι γίνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ ἐν τοῖσι συνεχεστέροισι πυρετοῖσι καὶ ἐν τοῖσι γνησίοισι τριταίοισιν.

Οἷσι δ' ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι ἀμβλυωγμὸς γίνηται ἢ μαρμαρυγαὶ προφαίνωνται, ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ
186 ἐπὶ | δεξιὰ ἢ ἐπ' ἀριστερὰ συντείνηταί τι μήτε σὺν ὀδύνῃ μήτε σὺν φλεγμονῇ, αἷμα διὰ ῥινῶν τούτοισι ῥαγῆναι προσδόκιμον ἀντὶ τοῦ ἐμέτου. μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι· τοῖσι δὲ τριηκονταέτεσι καὶ γεραιτέροισιν ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι.

Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὅ τε πυρετὸς ὀξὺς ᾖ καὶ ἡ γαστὴρ μὴ διαχωρῇ καὶ ἀγρυπνέωσί τε καὶ ἐκπλαγέωσι καὶ κλαυθμυρίζωσι καὶ τὸ

1 μᾶλλον V 2 πλεύνες M 4 ἀπ. δὲ ἐνναт. ἢ ἑνδεκ. in ras. subsequente quinque litterarum lacuna V 6 τἆλλα V τῶν ss. M γίνεται M 7 ἡ νοῦσος om. V 8 ἀνδράσι τὲ καὶ γυναιξὶν V 10 δ' ἐν V 12 ἐν add. M, om. V 14 ἀμβλυωσμὸς V 16 ξυντείνεται sine τι M 17 ante διὰ add. δὲ M τούτῳ M, τουτέῳ V 18 ῥυῆναι M ἐμετοῦ V δ' ἐνταῦθα V 20 τριήκοντα ἔτεσι M, τριηκοντέτεσι V 21 τ. ἐμετοὺς V, τοῖς ἐμέτοισι C' 22 τε om. M 23 διαχωρέει C', ὑποχωρέῃ V 24 κλαυμυρ. M, κλαυθμυρίζουσι C' V

χρῶμα μεταβάλλωσι καὶ χλωρὸν ἢ πελιδνὸν ἢ ἐρυθρὸν ἴσχωσιν. γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισι ἐς τὰ ἑπτὰ ἔτεα· τὰ δὲ πρεσβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρες οὐκ ἔτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μή τι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε καὶ κακίστων, οἷά περ ἐπὶ | τῇσι φρενίτισι γίνεται. τοὺς 188 *δὲ περιεσομένους τε καὶ ἀπολουμένους τῶν παιδίων τε καὶ τῶν ἄλλων τεκμαίρεσθαι τοῖσι σύμπασι σημείοισιν, ὡς ἐφ' ἑκάστοις ἕκαστα διαγέγραπται. ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων καὶ ὅσα ἐκ τούτων γίνεται.*

25. *Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τούς τε περιεσομένους καὶ τοὺς ἀποθανουμένους οἷσί τε ἂν μέλλῃ τὸ νόσημα πλείονας ἡμέρας παραμένειν καὶ οἷσιν ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντα πάντα δύνασθαι κρίνειν ἐκλογιζόμενον τὰς δυνάμιας αὐτῶν πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται περί τε τῶν ἄλλων καὶ τῶν οὔρων καὶ τῶν πτυέλων[, ὅταν ὁμοῦ πῦόν τε ἀναβήσσῃ καὶ χολήν]. χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων τῶν αἰεὶ ἐπιδημεόντων ταχέως ἐνθυμεῖσθαι καὶ μὴ λανθάνειν τὴν τῆς ὥρης κατάστασιν. εὖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων καὶ τῶν ἄλλων*

1 *καὶ πελ.* MV 2 *ἴσχουσιν* C′ *ἑτοίμου* C′ 3 *τοῖσι νεωτάτοισι τῶν παιδίων* C′, *τοῖσι δὲ νεωτ.* M 5 *τῶν τοιούτων σπ.* C′ 6 *γένηται* C′ 7 *τοὺς δὲ* (*δ'* M) *ἀπολ. τ. κ. π.* MV 8 *ἀπολλυμένους* C′M *παίδων* C′ 11 *περί τε τῶν* MV *ὁκόσα* V 14 *τε* om. MV *τε καὶ τ. ἀπολλυμένους* C′ *ὅσοισι* M 15 *πλ. ἡμ. παρ. τὸ νόσ.* MV 16 *ὅσοισι* M, *οἷς* V *ἐκμανθάνοντας* M, *ἐκμαθόντα* V *πάντα τἀυτὰ* (sic) C′ 17 *λογιζ.* MV ante *τὰς* add. *ἑκάστου* C′ *αὐτῶν* om. C′ 19 *τῶν* ante *πτυέλ.* om. V *ὅταν — χολήν* (20) del. Gomp. Wil. *ποιόν τε καὶ χολ. ἀναβ.* C′ 21 *ὀξέως* pro *ταχ.* Wil. (cf. 102, 12) 22 *καὶ μὴ λανθάνειν* om. M *τήν τε τ. ὥ. κ.* M, *τῆς τε ὥρ. τὴν κατάστ.* V 23 *περί τε τῶν* C′

σημείων, ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ τά τε 190 *κακὰ | κακόν τι σημαίνει καὶ τὰ χρηστὰ ἀγαθόν, ἐπεὶ καὶ ἐν Λιβύῃ καὶ ἐν Δήλῳ καὶ ἐν Σκυθίῃ φαίνεται τὰ προγεγραμμένα σημεῖα ἀληθεύοντα. εὖ οὖν χρὴ εἰδέναι, ὅτι ἐν τοῖς αὐτοῖσι χωρίοισιν οὐδὲν δεινὸν τὸ μὴ οὐχὶ τὰ πολλαπλάσια ἐπιτυγχάνειν, ἢν ἐκμαθών τις αὐτὰ κρίνειν τε καὶ ἐκλογίζεσθαι ὀρθῶς ἐπίστηται. ποθεῖν δὲ χρὴ οὐδενὸς νοσήματος ὄνομα, ὅ τι μὴ τυγχάνει ἐνθάδε γεγραμμένον· πάντα γάρ, ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσιν αὐτοῖσι σημείοισιν.*

1 post *σημ.* add. *καὶ μὴ λανθ.* C′M, om. V *χώρῃ* pro *ὥρῃ* C′ 2 *τι* om. M *//ἐπεὶ* cum ras. V 3 *λιβύει* C′ *σκύθησι* C′V *φαίνονται* V 4 *ἀληθ. σημ.* MV *ἐξ ὧν* pro *εὖ οὖν* M 5 *ἔν τε τοῖς* M *σημείοισι* pro *χωρ.* C′ *οὐθὲν* V *τὸ μὴ οὐχὶ* om. V, *τὸ// μὴ οὐ* M 6 ante *ἐπιτ.* add. *αὐτῶν* M *ἥν τις ἐκμ.* V 7 *λογίζ.* M 8 *οὔνομα* M, *τοὔνομα* C′ 9 *γεγρ. ἐνθ.* C′ *ἅπαντα* C′V *ὁκόσα* om. C′ 10 *προγεγραμμένοισι* C′ *γνώσει* C′

ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ.

1. *Οἱ συγγράψαντες τὰς Κνιδίας καλεομένας γνώμας* II 224 L. *ὁποῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νοσημάτων ὀρθῶς ἔγραψαν καὶ ὁποίως ἔνια ἀπέβαινεν· καὶ ἄχρι μὲν τούτων, καὶ ἢν μὴ ἰητρός, δύναιτό τις ἂν ὀρθῶς συγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστου πύθοιτο, ὁποῖα πάσχουσιν· ὁπόσα δὲ προσκαταμαθεῖν δεῖ τὸν ἰητρὸν μὴ λέγοντος τοῦ κάμνοντος, τούτων πολλὰ παρεῖται, ἄλλ' ἐν ἄλλοισιν καὶ ἐπίκαιρα ἔνια ἐόντα ἐς τέκμαρσιν.*

2. *Ὁπόταν δὲ ἐς τέκμαρσιν λέγηται, ὡς χρὴ ἕκαστα ἰητρεύειν, ἐν τούτοισι πολλὰ ἑτεροίως | γινώσκω ἢ ὡς* 226 *κεῖνοι ἐπεξήεσαν· καὶ οὐ μοῦνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἄκεσιν ἐχρέοντο· τὰ γὰρ πλεῖστα αὐτοῖσιν εἴρηται, πλὴν τῶν ὀξειῶν νούσων, φάρμακα ἐλατήρια διδόναι καὶ ὀρὸν καὶ γάλα τὴν ὥρην πιπίσκειν.*

3. *Εἰ μὲν οὖν ταῦτα ἀγαθὰ ἦν καὶ ἁρμόζοντα τοῖσι*

1 *Ἱπποκράτους περὶ πτισάνης* A, *Ἱ. π. δ. ὀ. οἱ δὲ περὶ πτισάνης οἱ δὲ πρὸς τὰς κνηδίας γνώμας* M, *Ἱ. πρὸς τὰς κνιδίας γνώμας ἢ περὶ πτισάνης* V   5 post *ἀπέβ.* add. *αὐτέων* codd. praeter A^{1} (ss. A^{3}) V   *τουτέου* MV   *ἢν* om. codd. praeter A   6 *δύναιτ' ἂν* AV, *ἂν δύναιτο* M, *τις* om. AMV, *δύναιτό τις ἂν* Par. R' Gal. i. textu, *κ. ὁ μὴ ἰ. δ. ἂν* Wil.   7 *ἕκαστα* V   *πευθί(ει* A^{3}*)ατο* A, *πυθοίατο* (*υ* in ras.) M   8 *προκ.* M   *δῆ* A, mut. in *δεῖ* A^{3} 9 *ἄλλα* V   ante *πολλὰ* add. *τὰ* omn. praeter A^{1} (add. A^{3})   10 *ἐόντα* om. A^{1} (add. A^{3})   *τέκμαρσι* V   11 *Ὁπόταν — τέκμαρσιν* om. A^{1}, ss. A^{3} *δὲ δὴ* V   ante *ὡς* add. *ἢ* AM   13 *κεῖνοι* A^{1}, *ἐκ.* A^{3}MV   *ἐπεξίεσαν* A   *τουτέωι* M   14 *ἄκεσιν* V, *ἀκέεσιν* (*κεε* in ras.) A, *ἄκ.* om. M   15 *εὕρηται* pro *εἴρ.* V, *εἰρέαται* M   16 *ὀρρὸν* A, alterum *ρ* add. A^{3} 17 ante *τὴν* add. *εἰς* A^{3} 18 *ταῦτ' ἦν ἀγ.* V, *ἦν* om. A

νοσήμασιν, ἐφ' οἷσι παρήνεον διδόναι, πολὺ ἂν ἀξιώτερα ἦν ἐπαίνου, ὅτι ὀλίγα ἐόντα αὐτάρκεά ἐστιν· νῦν δὲ οὐχ οὕτως ἔχει. οἱ μέντοι ὕστερον ἐπιδιασκευάσαντες ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισιν. ἀτὰρ οὐδὲ περὶ διαίτης οἱ ἀρχαῖοι συνέγραψαν οὐδὲν ἄξιον λόγου· καί τοι μέγα τοῦτο παρῆκαν. τὰς μέντοι πολυτροπίας τὰς ἐν ἑκάστῃ τῶν νού-
228 *σων καὶ τὴν πολυσχιδίην οὐκ ἠγνόεον ἔνιοι· τοὺς δ' ἀριθμοὺς ἑκάστου τῶν νοσημάτων σάφα ἐθέλοντες φράζειν οὐκ ὀρθῶς ἔγραψαν· μὴ γὰρ οὐκ εὐαρίθμητον ᾖ, εἰ τούτῳ τις σημαίνεται τὴν τῶν καμνόντων νοῦσον, ⟨τῷ⟩ τὸ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι, μὴ τωὐτὸ δὲ νόσημα δοκεῖ εἶναι, ἢν μὴ τωὐτὸ ὄνομα ἔχῃ.*

2 L. 4. *Ἐμοὶ δὲ ἁνδάνει μὲν [ἐν] πάσῃ τῇ τέχνῃ προσέχειν τὸν νόον· καὶ γὰρ ὁπόσα ἔργα καλῶς ἔχει ἢ ὀρθῶς, καλῶς ἕκαστα χρὴ ποιεῖν καὶ ὀρθῶς, καὶ ὁπόσα ταχέως [ἔργα], ταχέως, καὶ ὁπόσα καθαρίως,*
232 *καθαρίως, καὶ ὁπόσα ἀνωδύνως, διαχειρίζεσθαι ὡς ἀνωδυνώτατα καὶ τἄλλα πάντα τοιουτότροπα διαφερόντως τῶν πέλας ἐπὶ τὸ βέλτιον ποιεῖν χρή.*

1 *πολὺ* VA[1] (mut. in *πολῷ* A[3]) *ἔτι* pro *πολὺ* M 2 *ἐπ. ἦν* M *ὀλίγιστα* V 6 *οὐδὲν* om. A[1], add. A[3] *μετὰ* M 7 *ἑκάστῃσι* MV 8 post *πολυσχ.* add. *αὐτέων* omn. praet. A[1] (add. A[3]) *δὲ* MV 9 *ἑκάστων* V *σαφῶς* V 10 post *γὰρ* add. *καὶ* MV *οὐκ* om. V[1], ss. V[2] *εὐαριθμήτως* V 11 *ἢν* pro *ᾖ* M, *εἴη* AV *τούτω* (-*τέων* [3]) *τι* / cum ras. unius litt. A *σημαίνηται* A (*ηται* in ras. A[3]), *σημαίνεται* Gal. i. t., *σημανεῖται* cett. *καμνόντ* A[1], *ων* ss. al. m. 12 *τῷ* add. Gomp., *τῷ ἕτ.* JDS' *μητ' αὐτόν* mut. in *μὴ τἀυτό* A, *μη τωδε νόσ.* V 13 *δοκέειν* AMV, -*έει* Gal. i. t., *ἔχει* A 14 *ἀνδάννει* A *ἐν* post *μὲν* del. Gomp., Wiener Sitzungsber. tom. 83 p. 590 15 *ἔργα διήκει καλῶς ἕκαστα* (*ἔχ. ἢ ὀ. κ.* om.) M 17 *ἔργα ταχέος· ταχέως* V, *ἔργα* delevi *καθαριώτητος* A, -*ιότητος* V, -*ιότης* M 18 *καθαρῶς* A *δεῖ διαχ.* V Gal. i. t. 19 post *ἀνωδυνώτατα* add. *ποιέειν* omn. praeter A *τὰ ἄ.* MV *τὰ* post *πάντα* add. omn. praeter A 20 ante *πέλας* add. *ἄλλων* A

5. *Μάλιστα δ' ἂν ἐπαινέσαιμι ἰητρόν, ὅστις ἐν τοῖσιν ὀξέσι νοσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει, ἐν τούτοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον. ἔστιν δὲ ταῦτα ὀξέα, ὁποῖα ὠνόμασαν οἱ ἀρχαῖοι πλευρῖτιν καὶ περιπνευμονίην καὶ φρενῖτιν καὶ καῦσον, καὶ τἄλλα ὅσα τούτων ἐχόμενα, ὧν οἱ πυρετοὶ τὸ ἐπίπαν συνεχέες. ὅταν γὰρ μὴ λοιμώδεος νούσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδες ἔωσιν αἱ νοῦσοι, καὶ πολλαπλάσιοι | ὑπὸ τούτων τῶν* 234 *νοσημάτων ἀποθνήσκουσι [πλείους] ἢ ὑπὸ τῶν ἄλλων τῶν συμπάντων.*

6. *Οἱ μὲν οὖν ἰδιῶται οὐ κάρτα γινώσκουσιν τοὺς ἐς ταῦτα διαφέροντας τῶν πέλας ἑτεροίων τε μᾶλλον ἐπαινέται ἰημάτων καὶ ψέκται εἰσίν· ἐπεί τοι μέγα σημεῖον τόδε, ὅτι οἱ δημόται ἀσυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τούτων τῶν νοσημάτων εἰσίν, ὡς μελετητέα ἐστί· οἱ γὰρ μὴ ἰητροὶ ἰητροὶ δοκέουσιν εἶναι μάλιστα διὰ | ταύτας τὰς νούσους· ῥηίδιον γὰρ τὰ ὀνόματα* 238 *ἐκμαθεῖν, ὁποῖα νενόμισται προσφέρεσθαι πρὸς τοὺς τὰ*

1 *ὅστις* A^{1}, mut. A^{2} in *ὅπως*   *ἐν τ. ὀξ.* ab ead. m. i. m. M   3 *διαφέρον* A^{1}, em. al. m.   4 ante *ἔστι* velut in titulo *ὀξέα νοσήματα ταῦτα* add. A   *ὀνόμ.* A^{1}, em. al. m.   5 post *φρεν.* add. *καὶ λήθαργοι* M   6 *τὰ ἄ.* M, *τἆλλα* V   post *τἄλλα* add. *νοσήματα* M   *ἐχόμενά ἐστι* M   7 post *συνεχ.* add. *ὄντες κτείνουσι(ν* M) MV   *ὁκόταν δὲ μὴ* V   8 *σποράδεες* M   9 *ἐῶσιν* AV   *πολλαπλ.* Gomperz l. l. p. 591, *μὴ παραπλήσιοι* M vulg., *παραπλ.* sine *μὴ* V, *καὶ παραπλ.* om. A, sed i. m. *καὶ μὴ παραπλήσιοι, τοὺς πλείστους συμβέβηκεν* A^{3} *ὑπὸ τούτων* A^{1} mut. in *ὑπὸ τῶν τοιούτων* A^{3} *ἁλίσκεσθαι* loco *τῶν νοσημάτων* i. ras. A^{3} 10 *θνήσκουσι* A   *πλείους ἢ* AV, *μᾶλλον ἢ* M, gloss. reiec. Wil.   11 post *συμπ.* add. *νοσημάτων* V   13 *ἕτεροι ὧν* M   *δὲ* pro *τε* Wil.   14 *ἐπείτοι* A, alterum ε add. A^{3} *ἐπί τοι* V   15 *οἱ μὲν δημ.* M   *ἀξυνετὰ τὰ τοιαῦτα* pro *ἀσ. αὐτοὶ* M   16 *ὥστε* pro *ὡς* MV   17 *εἶναι* pro *ἐστι* codd., sed *εἶνα* in ras. A   19 *ἐκμανθάνειν* M, post *ἐκμαθ.* add. *ἐστὶν* A^{3}

τοιάδε κάμνοντας· ἢν γὰρ ὀνομάσῃ τις πτισάνης τε χυλὸν καὶ οἶνον τοῖον ἢ τοῖον καὶ μελίκρητον, πάντα τοῖσι ἰδιώτῃσι δοκέουσιν οἱ ἰητροὶ τὰ αὐτὰ λέγειν, οἵ τε βελτίους καὶ οἱ χείρους. τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν τούτοισι καὶ πάνυ διαφέρουσιν ἕτεροι ἑτέρων.

3 L. 7. *Δοκεῖ δέ μοι ἄξια γραφῆς εἶναι, ὁπόσα τε ἀκαταμάθητά ἐστιν τοῖς ἰητροῖς ἐπίκαιρα ἐόντα εἰδέναι καὶ ὁπόσα μεγάλας ὠφελείας φέρει ἢ μεγάλας βλάβας. ἀκαταμάθητα οὖν καὶ τάδ' ἐστίν, διὰ τί ἄρα ἐν τῇσιν ὀξείῃσι νούσοισιν οἱ μὲν τῶν ἰητρῶν πάντα τὸν αἰῶνα διατελέουσιν πτισάνας διδόντες ἀδιηθήτους* 240 *καὶ νομίζουσιν* | *ὀρθῶς ἰητρεύειν, οἱ δέ τινες περὶ παντὸς ποιέονται, ὅπως κριθὴν μηδεμίαν καταπίῃ ὁ κάμνων — μεγάλην γὰρ βλάβην ἡγεῦνται εἶναι —, ἀλλὰ δι' ὀθονίου τὸν χυλὸν διηθέοντες διδόασιν· οἱ δ' αὖ τινες αὐτῶν οὔτ' ἂν πτισάνην παχεῖαν δοῖεν οὔτε χυλόν· οἱ μὲν μέχρι ἂν ἑβδομαῖος γένηται, οἱ δὲ καὶ διὰ τέλεος ἄχρι ἂν κριθῇ ἡ νοῦσος.*

8. *Μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθίδαται οἱ ἰητροί· ἴσως δὲ οὐδὲ*

1 *τοιαῦτα* MV *εἰ γὰρ ὀνομάσειε* V *τε* post *πτισάν.* om. M 2 post prius *τοῖόν* (sic) adscr. *δὲ* A[3] i. ras. *ἢ καὶ* M *ἅπαντα* MV 3 *τοῖσι(ν* A[3]) *ἰδιώτ.* A, *τοῖσι δημότῃσι* MV *ταῦτα* AV 5 *τούτ. δὴ κ. π.* MV post *πάνυ* add. *μέγα* M, *μεγάλα* V 6 post *εἶναι* add. *μάλιστα* MV, om. A[1], ss. A[3] 7 *τε* om. V *ἀκαταμάχητά* (bis) V 8 *ὁκόσα τὲ* pro *καὶ ὁπ.* V 9 ante *οὖν* add. *μὲν* MV *διατί ἆρα* AV 10 *τινὲς* pro *οἱ* V *ἅπαντα* MV 11 *διατελ. τ. αἰ.* V 13 *μὲν μὴ δὲ μίην* V *καταπίο* A[1], mut. in *-πιῃ* A[3] 15 *διηθ. τ. χυλ.* M 16 *πτισάνης παχείης* A 17 post *γέν.* add. *ὁ κάμνων* MV, om. A[1], adscr. A[3] i. m. 18 *διατελέως* AV *ἢν* pro *ἂν* bis M 19 *τοιάδε* MV 20 *ζητήμ.* om. V *εἰθισ(ται* i. ras.) *τοῖς ἰητροῖς* (mut. ex *οἱ ἰητροί*) A, *εἰθίδαται* Ilb. (cf. p. 125, 22), *εἰθισμένοι εἰσὶν* MV

*προβαλλόμενα γινώσκεται· καίτοι διαβολήν γε ἔχει
ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, ὡς μὴ δο-
κεῖν ὅλως ἰητρικὴν εἶναι· ὥστ' εἰ ἔν γε τοῖσιν | ὀξυτά-* 242
*τοισι τῶν νοσημάτων τοσόνδε διοίσουσιν ἀλλήλων οἱ
χειρώνακτες, ὥστε ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος
ἄριστα εἶναι, ταῦτα νομίζειν τὸν ἕτερον κακὰ εἶναι,
σχεδὸν ἂν κατά γε τῶν τοιούτων τὴν τέχνην φαῖεν
ὡμοιῶσθαι μαντικῇ, ὅτι καὶ οἱ μάντιες τὸν αὐτὸν
ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν νομίζουσιν εἶναι,
εἰ δὲ δεξιός, κακόν — καὶ ἐν ἱεροσκοπίῃ δὲ τοιάδε,
ἄλλα ἐπ' ἄλλοις —, ἔνιοι δὲ τῶν μαν|τίων τὰ ἐναντία* 244
τούτων.

9. *Φημὶ δὲ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ καὶ ἐπικαιροτάτοισι· καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγιείην μέγα τι δύναται καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφάλειαν καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην καὶ ἐς ὅ τι ἕκαστος ἐθέλει.*

4 L. 10. *Πτισάνη μὲν οὖν δοκεῖ ὀρθῶς προκεκρίσθαι τῶν σιτηρῶν γευμάτων ἐν τούτοισι τοῖσι νοσήμασιν, καὶ ἐπαινέω τοὺς προκρίναντας. τὸ γὰρ γλίσχρασμα αὐτῆς λεῖον καὶ συνεχὲς καὶ προσηνές*

1 *εὑρίσκεται* pro *γιν.* MV 2 *ὡς* om. A^1, ss. A^2 *μὴ δὲ* M, *μηδὲν* V *δοκέει* A^1, *ν* ss. A^2 3 *ὀξυτ.* om. M 6 *νομίζ. ἤδη τ. ἕ.* MV 7 *καὶ* ante *σχεδὸν* add. M, ss. A non prima m. *τὸν τοιοῦτον* mut. in *τῶν τοιούτων* A, *τὸ* (*τὸν* M) *τοιόνδε* MV 8 *ὁμοιοσθαι* A^1, mut. in *-οῦσθαι* A^3 9 *ἧ* pro *εἴη* V 10 *ἀερόσκ.* M *δὲ* om. MV *τὰ* ante *τοιάδε* add. MV, ss. A^3 11 *ἄλλα ἐπ' ἄλλοις* om. M *Ἔνιοι* (sic) A, *ἀλλὰ ἔν.* pro *ἔν. δὲ* M 13 *δὴ* pro *δὲ* MV 14 *ἢ μηδελφ.* V pro *καὶ ἠδ.* 15 *νουσέοισι* V 16 *τί* V ut saepius *δύνασθαι* MV 18 *ἐθέλει* A, *ἐθέλοι* MV, *ἂν ἕκ. ἐθέλῃ* vulg. 19 ante *δοκ.* add. *μοι* MV
20 *τῶ*($ν^2$?) *σωτηρῶν* A 21 *τοῖσιν ὁ*(*ξέσι νοσή* A^3)*μασιν* A post *ἐπαινέω* add. *γε* MVA^3 22 *προσηνές* ex emendatione A^2

246 *ἐστι καὶ ὀλισθηρὸν καὶ πλαδαρὸν μετρίως καὶ | ἄδιψον καὶ εὐέκκριτον, εἴ τι καὶ τούτου προσδέοι, καὶ οὔτε στύψιν ἔχον οὔτε ἄραδον κακὸν οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ· ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὅσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι.*

11. *Ὅσοι μὲν πτισάνῃ χρέονται ἐν τούτοισι τοῖσι νοσήμασι, οὐδεμιῇ ἡμέρῃ κενεαγγητέον, ὡς ἔπος εἰρῆσθαι, ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ ἢ διὰ φαρμακείην ἢ κλύσιν διαλείπειν. καὶ τοῖσι μέν γε εἰθισμένοισι δὶς σιτεῖσθαι τῆς ἡμέρης δὶς δοτέον· τοῖσι δὲ μονοσιτεῖν εἰθισμένοις ἅπαξ δοτέον τὴν πρώτην· ἐκ προσαγωγῆς [ἢν] δ' ἐνδέχεται καὶ τούτοι-*
248 *σιν δὶς διδόναι, ἢν | δοκέῃ προσδεῖν. πλῆθος δὲ ἀρκεῖ κατ' ἀρχὰς διδόναι μὴ πολὺ μηδὲ ὑπέρπαχυ, ἀλλ' ὅσον εἵνεκα τοῦ ἔθεος ἐσιέναι τι καὶ κενεαγγίην μὴ γενέσθαι πολλήν.*

12. *Περὶ δὲ τῆς ἐπιδόσιος ἐς πλῆθος τοῦ ῥυφήματος, ἢν μὲν ξηρότερον ᾖ τὸ νόσημα ἢ ὡς ἄν τις*
250 *βούληται, οὐ χρὴ ἐπὶ πλέον διδόναι, | ἀλλὰ προπίνειν πρὸ τοῦ ῥυφήματος ἢ μελίκρητον ἢ οἶνον, ὁπότερον ἂν ἁρμόζῃ· τὸ δ' ἁρμόζον ἐφ' ἑκάστοισι τῶν τρόπων εἰρήσεται. ἢν δὲ ὑγραίνηται τὸ στόμα καὶ τὰ ἀπὸ τοῦ πνεύμονος ἴῃ ὁποῖα δεῖ, ἐπιδιδόναι χρὴ ἐς πλῆθος τοῦ*

2 *εὔκριτον* V, *εὐέκπλυτον* M 4 *ἀν(ώδηκε* i. ras.) A 6 *οὖν* post *μὲν* add. MV, *οὖν ὅλησι* ss. alia m. A *πτισάνη* A[1], *σι* ss. alia m., *πτισάνῃσι* MV 7 *οὐδὲ μίῃ* V *κεναγγητέον* V 9 *καῦσιν* pro *κλύσιν* MV *διαλιπεῖν* V 12 *ἐκ προσαγωγῆς· ἢν δὲ* (*δ'* A) *ἐνδέχηται* AV, *ἐκ προσαγ. δέ· ἢν δὲ ἐνδέχηται* M, *ἐνδέχεται* Gal. i. t., R′ *ἢν* del. Rhd. *καὶ τούτ.* A, *τούτ. καὶ* MV 13 *διδόναι* A, *δοτέον* MV post *ἢν* add. *τι* M *δοκέειν* A 14 *μὴ* A, *δὲ* M pro *μηδὲ*, *μὴ δὲ* V ut saepius 15 *κεναγγείην* V *γίγνεσθαι* A 18 *ξηρότατον* MV 19 *οἴοιτο* pro *βούλ.* MV 20 *ἢ* ante *ὁπότ.* add. MV 22 *τὰ* ante *ἀπὸ* om. M 23 *ἴῃ* pro vulg. *εἴῃ* Cor. notes p. 25, Erm. *ὁκοῖα δ' ἂν εἰσὶ διδόναι* pro *ὁ. δ. ἐπ.* V

ῥυφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι· τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον πλαδῶντα ταχύτητα σημαίνει κρίσιος, τὰ δὲ βραδύτερον πλαδῶντα καὶ ἧσσον βραδυτέρην σημαίνει τὴν κρίσιν. καὶ ταῦτα αὐτὰ μὲν καθ' ἑωυτὰ τοιάδε τὸ ἐπίπαν ἐστί.

13. Πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷσι προσημαίνεσθαι δεῖ, ἃ εἰρήσεται ὕστερον. καὶ ὅσῳ ἂν πλείων ἡ κάθαρσις γίνηται, τοσῷδε χρὴ πλεῖον διδόναι ἄχρι κρίσιος· μάλιστα δὲ κρίσιος ὑπερβολῆς δύο ἡμερέων, οἷσί γε ἢ πεμπταίοισιν ἢ ἑβδομαίοισιν ἢ ἐναταίοισιν δοκεῖ κρίνειν, ὡς καὶ τὸ ἄρτιον | καὶ τὸ 252 περισσὸν προμηθὲς ᾖ· μετὰ δὲ τῷ μὲν ῥυφήματι τὸ πρωὶ χρηστέον, ὀψὲ δὲ ἐς σιτία μεταβάλλειν.

14. Συμφέρει δὲ τὰ τοιάδε ὡς ἐπὶ τὸ πολὺ τοῖς οὔλῃσι πτισάνῃσιν αὐτίκα | χρεωμένοις. αἵ τε γὰρ 254 ὀδύναι ἐν τοῖσι πλευριτικοῖσιν αὐτίκα παύονται αὐτόματοι, ὅταν ἄρξωνται πτύειν τι ἄξιον λόγου καὶ ἐκκαθαίρεσθαι, αἵ τε καθάρσιες πολλὸν τελεώτεραί εἰσι, καὶ ἔμπυοι ἧσσον γίνονται, ἢ εἰ ἀλλοίως τις διαιτῴη, καὶ αἱ κρίσιες ἁπλούστεραι καὶ εὐκριτώτεραι καὶ ἧσσον ὑποστροφώδεες.

2 *ταχυτῆτα* AM *κρίσ. σημ.* M, *κρίσηος* (ut saepius) *σημαίνεται* V 3 *πλαδῶντα* ante *καὶ ἧσσ.* om. MV 4 *τὴν* ante *κρίσιν* om. A[1]V, add. A[3] *καθ' αὐτὰ* A, apostr. et spir. add. A[3], *καθ' αυτὰ* M, *καθ' αὐτὰ* V 5 *εἰσί* pro *ἐστί* V 8 *ἐπιδιδόναι* MV 9 *ὑπερβολῆ̀* (` ss. A[4]) *εἰς β ἡμέρας· οἷσι δὲ* A 10 *ἐνναταί.* V 11 *δοκέειν* A *κρίνεσθαι* MV 12 *προμηθήσῃ* Litt. *εἶ* pro *ᾖ* A post *δὲ* add. *τοῦτο* MV *τῶ* pro *τὸ* M 13 *χρηϊστέον* A (*η* A[2]) ante *ὀψὲ* add. *ἐς* MV 14 *τῇσιν ὄλῃσι* M, *τοῖσι νοσηλοῖσι* V 16 *αἰτοῖσι* pro *ἐν τ.* A *αὐτόμαται* A 17 *ὅτ' ἂν* A *σιτέειν* pro *πτύειν* V *ἄξιο(ν* A[4]) 17. 18 *καθαίρ.* A[1], *ἐκ* ss. A[3], *εὐκαθαίρ.* M 18 *πολλῷ* MV *εἰσι* om. A 20 *ἁπλώστ.* M, *ἁπλοώτ.* V *εὐκριτ.* (*ἐκ* ss.) M

5 L. 15. *Τὰς δὲ πτισάνας χρὴ ἐκ κριθέων ὡς βελτίστων εἶναι καὶ ὡς βέλτιστα ἑψῆσθαι, καὶ ἄλλως ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρῆσθαι· μετὰ γὰρ τῆς*
256 *ἄλλης ἀρετῆς τῆς πτισάνης τὸ ὀλισθη|ρὸν τὴν κριθὴν καταπινομένην ποιεῖ μὴ βλάπτειν· οὐδαμῇ γὰρ προσίσχει οὐδὲ μένει κατὰ τὴν τοῦ θώρηκος ἴξιν· ὀλισθηροτάτη δὲ καὶ ἀδιψοτάτη καὶ εὐπεπτοτάτη καὶ ἀσθενεστάτη ἐστὶν ἡ κάλλιστα ἑφθή· ὧν πάντων δεῖ.*

16. *Ἢν οὖν μὴ προστιμωρήσῃ τις ὅσων δεῖται αὐτάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανορρυφίης, πολλαχῇ βεβλάψεται. οἷσι γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, εἰ μή τις ὑποκενώσας δοίη τὸ ῥύφημα,*
258 *τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἂν | καὶ μὴ ἐνεοῦσαν ἂν ἐμποιήσειεν, καὶ πνεῦμα πυκνότερον γένοιτ᾽ ἄν· κακὸν δὲ τοῦτο· ξηραντικόν τε γὰρ πνεύμονος καὶ κοπῶδες ὑποχονδρίων καὶ ἤτρου καὶ φρενῶν. τοῦτο δέ, ἢν ἔτι τοῦ πλευροῦ τῆς ὀδύνης συνεχέος ἐούσης καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης καὶ τοῦ πτυάλου μὴ ἀνιόντος, ἀλλὰ καταγλισχραινομένου ἀσα-*
260 *πέως, ἢν μὴ λύσῃ τις | τὴν ὀδύνην ἢ κοιλίην μαλθάξας ἢ φλέβα ταμών, ὁπότερον ἂν τούτων σημήνῃ, τὰς*

1 *τέως* pro *ὡς* MV, *ὡς βέλτιστον* A 2 *κάλλιστα* pro *ὡς βέλτιστα* MV *ἑψ.* A^{1}M, *ἐψ.* V, *ἡψ.* A^{2} 3 *μούνα* V 3. 4 *μετὰ — πτισάνης* om. A 4 *τῆς κριθῆς* V 5 *οὐδαμοῦ* M *προσίσχεται* MV 6 *ἶξιν* V 7 *τε* pro *δὲ* A *καὶ εὐπεπτ.* om. A *εὐπετωτάτη* V 8 *εἰ μάλιστα ἑφθῇ* V *δη* mut. A^{3} in *δεῖ* 10 *πτισανοροφ.* A, *-νορροφ.* MV 11 *τε γὰρ* AV *ἐγκατακέκλιται* MV, *ἐνκατακέκλισται* A^{1}, emend. A^{3} 12 *ἢν . . . τὸ ῥόφ. δώῃ* MV 13 *ἐοῦσαν* pro priore *ἐνεοῦσ.* A 14 *εὐθὺς* post alterum *ἐνεοῦσ.* add. MV *ἐνποιήσῃ(ει* A^{3}*)εν ἂν* A, *ποιήσειεν* sine *ἂν* MV 15 *γίνοιτ᾽* A *τοῦτό ἐστι(ν* M*)* MV *ξηραντικώτερον* M *τε* om. M 16 *κακῶδες ὑποχονδρίου* A *ἴτρου* A ex emendatione 17 *δ᾽* A *τῆς ὀδ. τ. πλ.* M, *τῆς ὀδ. τ. πνεύμονος* V 19 *ἀπιόντ.* A *ἀσαπῶς* A, *ἀσαφέως* M, *ἀσαφῶς* V 20 *μαλθάξϊ* A (*-ει* A^{3}) 21 *ἢ* ante *ὁπότ.* add. M *ξυμφέρῃ* pro *σημ.* V, *ξυμφέρει* M

δὲ πτισάνας ἣν οὕτως ἔχουσι διδῷ, ταχέες οἱ θάνατοι τῶν τοιούτων γίνονται.

17. Διὰ ταύτας οὖν τὰς προφάσιας καὶ ἑτέρας τοιαύτας οἱ οὔλῃσι πτισάνῃσι χρεώμενοι ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν, οἱ μέν τι καὶ τὴν γνώμην βλαβέντες, οἱ δ' ὑπὸ τῆς ὀρθοπνοίης τε καὶ τοῦ ῥέγχεος ἀποπνιγέντες. μάλα δὲ τοὺς τοιούτους οἱ ἀρχαῖοι βλητοὺς ἐνόμιζον εἶναι διὰ τόδε | οὐχ ἥκιστα, 262 ὅτι ἀποθανόντων αὐτῶν ἡ πλευρὴ πελιδνὴ εὑρίσκεται, ἴκελόν τι πληγῇ. αἴτιον δὲ τούτου ἐστίν, ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην θνήσκουσιν· ταχέως γὰρ πνευματίαι γίνονται· ὑπὸ δὲ τοῦ πολλοῦ καὶ πυκνοῦ πνεύματος, ὡς ἤδη εἴρηται, γλισχραινόμενον τὸ πτύαλον ἀπέπτως κωλύει τὴν ἐπάνοδον γίνεσθαι, ἀλλὰ τὴν ῥέγξιν ποιεῖ ἐνισχόμενον ἐν τοῖσι βρογχίοισι τοῦ πνεύμονος. καὶ ὅταν ἐς τοῦτο ἔλθῃ, θανατῶδες ὡς ἐπὶ τὸ πολύ ἐστι· καὶ γὰρ αὐτὸ τὸ πτύαλον ἐνισχόμενον κωλύει μὲν τὸ πνεῦμα ἔσω φέρεσθαι, ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι· καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι συντιμωρεῖ· τό τε γὰρ πτύαλον ἐνισχόμενον πυκνὸν τὸ πνεῦμα ποιεῖ, τό τε πνεῦμα πυκνὸν ἐὸν ἐπιγλισχραίνει τὸ πτύαλον καὶ κωλύει ἀπολισθάνειν. καταλαμβάνει 264 δὲ ταῦτα οὐ μοῦνον ἣν πτισάνῃ ἀκαίρως χρέωνται,

1 ἔχωσι MV δίδως M ταχέως AM 3 ἑτέρας om. V 4 post τοιαύτ. add. μᾶλλον A, ἔτι μᾶλλον M post οὔλ. add. τῇσι MV 5 ὀλιγημέροι (sic) A τοι pro τι A 6 οἱ δὲ MV 7 ῥέγκου A 8 διὰ τοῦτο δὲ A post τόδε add. μάλιστα M οὐκι(η A[3])κιστα A οὐχ ἡ. δὲ καὶ ὅτι M 9 αὐτῶν om. A 10 τι ἴκελον M post τούτου add. τόδε MV 11 ταχὺ V 12 δὲ om. A 13 καταγλισχρ. MV 14 ante γίνεσθαι ss. μὴ A[2] 15 βρόγχοισι V 16 ταυτὸ pro τοῦτο M post θανατῶδες add. ἤδη MV 17 ἐνεχόμενον A 18. 19 ἔξω τάχα V 19 ἀλλήλους V 19. 20 τιμωρέουσι MV 20 ἐνεχ. AMV, ἐνισχ. vulg. 21 ποιεῖ, τ. τ. πν. om. V 22 ἀπολισθαίνειν M

ἀλλὰ πολὺ μᾶλλον, ἤν τι ἄλλο φάγωσιν ἢ πίωσι πτισάνης ἀνεπιτηδειότερον.

6 L. 18. *Μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιοί εἰσιν αἵ τιμωρίαι τοῖσί τε οὔλῃσι πτισάνῃσι χρεωμένοισι τοῖσί τε χυλῷ αὐτῷ· τοῖσι δὲ μηδετέρῳ τούτων, ἀλλὰ ποτῷ μοῦνον, ἔστιν ὅπῃ καὶ διαφερόντως τιμωρητέον. χρὴ δὲ τὸ πάμπαν οὕτω ποιεῖν·*

19. *ἢν μὲν νεοβρῶτι αὐτῷ ἐόντι καὶ κοιλίης μὴ ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετός, ἤν τε σὺν ὀδύνῃ ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥυφήματος, ἔστ' ἂν οἴηται κεχωρηκέναι ἐς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον. χρῆσθαι δὲ ποτῷ, ἢν μὲν ἄλγημά τι*
266 *ἔχῃ, ὀξυμέλιτι, χειμῶνος μὲν θερμῷ, θέρεος δὲ ψυχρῷ· ἢν δὲ πολλὴ δίψα ᾖ, καὶ μελικρήτῳ καὶ ὕδατι. ἔπειτα, ἢν μὲν ἄλγημα ἐνῇ ἢ τῶν ἐπικινδύνων τι ἐμφαίνηται, διδόναι τὸ ῥύφημα μήτε παχὺ μήτε πολύ, μετὰ δὲ τὴν ἑβδόμην, ἢν ἰσχύῃ. ἢν δὲ μὴ ὑπεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, κλύσαι, ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς.*

20. *Καιρὸν δὲ τῆς δόσιος τοῦ ῥυφήματος τόνδε μάλιστα φυλάσσεσθαι κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ*

3 *οἷον* pro *οὖν* A *παραπλήσιαί* M 4 *οὔλοισι* V ante *πτισ.* add. *τῇσι* MV 5 *τε τῷ χυλῷ* MV *δὲ* R′S′ Gal. Littr., caet. codd. *τε* *μηθ' ἑτέρῳ* MV 6 *μούνων* corr. *-νον* A[1], ss. ω A[3] ante *ὅπῃ* add. *δὲ* AMV caet. praeter R′S′ Gal. i. t. 7 *τό γε πάμπ.* MV 8 *ἐόντι αὐτέῳ* MV *μήπω* pro *μὴ* MV 9 *ἄρξεται* A 12 *τὸ σιτ.* om. V 14 *μελίκρητον* V post *ἔπειτα* add. *μέντοι* MV 15 *ἄλγημά τι* MV *φαίνηται* V 16 *πο(πον- M)λὺ μ. παχὺ* MV 17 *ἑβδόμη* V post *ἑβδ.* add. *ἢ ἐν(ν V)άτην* MV *ὑπερληλ.* A, *ἐπηληλύθει* V 18 *εἰ .. ἰσχύει* V 19 *ἀκμάζει* AV 20 *βαλανείῳ* V *προσχρῆσθαι* A *αὐτὸν αὐτὰ* pro *αὐτόματα* V *διεξείῃ* M 21 *καιρὸς* M 22 *καταρχὰς* AM ut saepius

νοσήματος· ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥυφήματος τὴν δόσιν, μάλιστα δὲ καὶ τοῦ ποτοῦ ἀπέχεσθαι· ὅταν δὲ ἡ θέρμη καταβῇ ἐς τοὺς πόδας, τότε διδόναι· καὶ νομίζειν μέγα δύνασθαι τὸν 268 *καιρὸν τοῦτον ἐν πάσῃσι τῇσι νούσοισιν, οὐχ ἥκιστα δὲ ἐν τῇσιν ὀξείῃσιν, μάλιστα δ' ἐν τῇσι μᾶλλον πυρετώδεσιν. χρῆσθαι δὲ μάλιστα μὲν χυλῷ, ἔπειτα δὲ πτισάνῃ, κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα ἀκριβέως θεωρέων.*

7 L. 21. *Ὀδύνην δὲ πλευροῦ, ἤν τε κατ' ἀρχὰς γίνηται ἤν θ' ὕστερον, θερμάσμασι [μὲν πρῶτον οὐκ ἀπὸ τρόπου χρησάμενον πειρηθῆναι διαλῦσαι. θερμασμάτων δὲ κράτιστον μὲν ὕδωρ θερμὸν ἐν ἀσκῷ ἢ ἐν κύστει ἢ ἐν χαλκῷ ἀγγείῳ ἢ ἐν ὀστρακίνῳ. προϋποτιθέναι δὲ | χρὴ μαλθακόν τι πρὸς τὴν πλευρὴν προσ-* 270 *ηνείης εἵνεκεν. ἀγαθὸν δὲ καὶ σπόγγος μαλθακὸς μέγας ἐξ ὕδατος θερμοῦ ἐκπεπιεσμένος προστίθεσθαι· περιστέγειν δὲ ἄνω τὴν θάλψιν χρή· πλείω τε γὰρ χρόνον ἀρκέσει καὶ παραμενεῖ, καὶ ἅμα ὡς μὴ ἡ ἀτμὶς πρὸς τὸ πνεῦμα τοῦ κάμνοντος φέρηται, ἢν ἄρα μὴ δοκῇ καὶ] τοῦτο χρήσιμον πρός τι εἶναι· ἔστι γὰρ ὅτε δεῖ πρός τι. ἔτι δὲ καὶ κριθαὶ ἢ ὄροβοι· ἐν ὄξεϊ κεκρημένῳ σμικρῷ ὀξυτέρῳ ἢ ὡς ἂν πίοι τις διέντα*

1 *ἐῶσιν* AMV 5 *τῇσι πάσῃσι* V 6 *μάλ. δὲ* M 7 post *πυρετ.* add. *καὶ ἐπικινδυνοτάτῃσι* MV *πρῶτον μάλιστα μὲν* MV *πρῶτον* om. A 8 *τὰ* ante *τεκμ.* om. V *τά τε γεγραμμένα* A 10 *ὀδύνη* MV 12 *ἀπὸ* A[1] mut. in *ἄπο* A[2] post *τρόπου* add. *ἐστὶ(ν* M) MV *διαλύσαι* AM post *διαλ.* add. *τὴν ὀδύνην* M 14 *ἀπείῳ* pro *ἀγγ.* A 15. 16 *προσείνης* (ει supra) A[1], corr. m. posterior *προσηνης* (ει supra) *πρὸς ἣν εἰσήνεγκεν* pro *προσηνείης εἵνεκεν* V 18 *περιστΐγειν τε* M *ἱματίω* pro *ἄνω* MV 19 *διαρκ.* M 20 *προσφέρηται* MV 21 *δοκέει* A 22 *δὴ* pro *δεῖ* A[4] V *καὶ* (pro *ἢ*) *ὄροβ.* MV 23 *σμικρῶς* MV *ὀξύτερον* AMV, *-τέρῳ* H

*καὶ ἀναξέσαντα ἐς μαρσίππια καταρράψαντα προστι-
θέναι. καὶ πίτυρα τὸν αὐτὸν τρόπον. ξηραὶ δὲ πυρίαι,
ἅλες, κέγχροι πεφρυγμένοι ἐν εἰρινέοισι μαρσιππίοισιν
272 ἐπιτηδειότατοι· καὶ γὰρ κοῦφον|καὶ προσηνὲς ὁ κέγχρος.*

22. *Λύει δὲ μάλθαξις ἡ τοιήδε καὶ τὰς πρὸς κληῖδα
περαινούσας ἀλγηδόνας· τομὴ μέντοι οὐχ ὁμοίως λύει
ὀδύνην, ἢν μὴ πρὸς τὴν κληῖδα περαίνῃ ἡ ὀδύνη. ἢν
δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ
πολὺν χρόνον θερμαίνειν· καὶ γὰρ ξηραντικὸν τοῦ
πνεύμονος τοῦτο καὶ ἐμπυητικόν· ἀλλ' ἢν μὲν σημαίνῃ
ἡ ὀδύνη ἐς κληῖδα ἢ ἐς βραχίονα βάρος ἢ περὶ μαζὸν
ἢ ὑπὲρ τῶν φρενῶν, τάμνειν χρὴ τὴν ἐν τῷ ἀγκῶνι
φλέβα τὴν ἔσω καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρεῖν, ἔστ'
ἂν ἐρυθρότερον πολλῷ ῥυῇ ἢ ἀντὶ καθαροῦ τε καὶ
274 ἐρυ|θροῦ πελιδνόν· ἀμφότερα γὰρ γίνεται.*

23. *Ἢν δ' ὑπὸ φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῖδα μὴ σημαίνῃ, μαλθάσσειν χρὴ τὴν κοιλίην ἢ μέλανι ἐλλεβόρῳ ἢ πεπλίῳ, μέλανι μὲν δαῦκος ἢ σέσελι ἢ κύμινον ἢ ἄνησον ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα, πεπλίῳ δὲ ὀπὸν σιλφίου. ἀτὰρ καὶ μισγόμενα ἀλλήλοισιν ὁμοιότροπα ταῦτ' ἐστιν. ἄγει δὲ μέλας μὲν*

ex emendatione *ποιῇ* (mut. in *πιῇ* A^3) *τις* A, *τις πίοι* MV 1 *ἀποράψ.* M, *ἀπορρίψ.* V *μαρσίπια* V 2 *ξηρὴ δὲ πυρίη* MV 3 *ἅλις* V *εἰρινέουσι* A, *ἠριναίοισι* (*η* in ras.) V *μαρσίποισιν* V 5 *μαλθάξεις· ἢδὲ καὶ* V 6 *πα*(*αι* ss. A^2)-*ραι*(mut. in *ε* A^3)*νούσας* A, *περεούσας* M, *περ ἐούσας* V *τὸ μὴ* A, *τομὴ* M, *τομῇ* V *μέντοι γε* MV *ὡς* ante *ὁμ.* add. A 7 *ημι* A^1, mut. in *εἰ μὴ* A^3 8 *δύηται* A 9 *θερμαίνει* A^1, *ν* ss. A^2 10 *τοῦτ' ἐστὶ*(*ν* M) MV *σημαίνει* A 11 *τὴν κλ.* M *ἐν βραχίονι* MV *ὑπὲρ μαζὸν* A 12 *τῶ* pro *τῶν* V *ἀρήγει* pro *χρὴ* MV 13 *χεῖρα* pro *φλέβα* A *λίχνον* pro *συχνὸν* V *ἀφαίρεσιν* V *ἕως ἂν* MV 14 *ἐρυθρώτ.* AM 15 *ἀμφοτεροῖα* MV 16 ante *φρέν.* add. *τὰς* M 17 *σημήνῃ* A, *σαίμῃ* M, *σησημαίνη* V 18 *ἐλεβόρω* V *σέλι* V 19 *ἀνν.* AM, *ἄνισον* V *τῶ*(*ν* A^3) A *ἢ εἴ τι τῶν εὐωδ. ἢ μίσγ.* V

καλλίω καὶ κρισιμώτερα πεπλίου, πέπλιον δὲ μέλανος φυσέων καταρρηκτικώτερόν ἐστιν. ἄμφω δὲ ταῦτα ὀδύνην παύει· παύει δὲ καὶ ἄλλα συχνὰ τῶν ὑπηλάτων· κράτιστα δὲ ταῦτα ὧν ἐγὼ οἶδα ἐστίν· ἐπεὶ καὶ τὰ ἐν τοῖσι ῥυ|φήμασι διδόμενα ὑπήλατα ἀρήγει, ὅσα μὴ 276 *ἄγαν ἐστὶν ἀηδέα ἢ διὰ πικρότητα ἢ δι' ἄλλην τινὰ ἀηδίην, ἢ διὰ πλῆθος ἢ διὰ χροιὴν ἢ ὑποψίην τινά.*

24. *Τῆς μέντοι πτισάνης, ὅταν πίῃ τὸ φάρμακον, ἐπιρρυφεῖν αὐτίκα χρὴ διδόναι μηδὲν ἔλασσον ἀξίως λόγου ἢ ὅσον εἴθιστο· ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ μεσηγὺ τῆς καθάρσιος μὴ διδόναι ῥυφεῖν· ὅταν δὲ λήξῃ ἡ κάθαρσις, τότε ἔλασσον ῥυφείτω ἢ ὅσον εἴθιστο. μετὰ δὲ ταῦτα ἀναγέτω ἐπὶ τὸ πλεῖον, ἢν ἥ τε ὀδύνη πεπαυμένη ᾖ καὶ μηδὲν ἄλλο ἐναντιῶται.*

25. *Ὡὑτὸς δέ μοι λόγος ἐστίν, κὴν χυλῷ δέῃ πτισάνης χρῆσθαι. φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι ῥυφεῖν τὸ ἐπίπαν μᾶλλον ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥυφήματος τριταῖον | ἢ τεταρταῖον ἢ* 278 *πεμπταῖον ἢ ἑκταῖον ἢ ἑβδομαῖον, ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τούτῳ τῷ χρόνῳ. αἱ δὲ προπαρασκευαὶ καὶ τούτοισι παραπλήσιοι ποιητέαι, ὁποῖαι εἴρηνται.*

8 L. 26. *Περὶ μὲν οὖν ῥυφήματος προσάρσιος οὕτω γινώσκω. ἀτὰρ καὶ περὶ ποτοῦ, ὁποῖον ἄν τις*

1 *χρησιμώτερα* M, *κρισ.* A[1], mut. in *χρησιμώτερα* A[4], *κρισιμώτερον* (*ον* in ras.) V *πεπλίω* pro *πεπλίου* V 2 *φύσεων* AV 3 *πολλὰ* pro *συχνὰ* MV *ὑπηλατῶν* V 6 post *ἀηδέα* add. *λίην* M 7 *διὰ* ante *χροιὴν* om. MV 8 *τὴν . . πτισάνην* MV 9 *ἔλλασσον* A, *ἐλάσσω(ν* M) MV 10 *εἴθισται* bis (v. 12) MV *ἐπὶ* A[1] em. A[3] 12 *τότ'* V *ὁκόταν* pro *ὅσον* V 13 *τοῦτο* pro *ταῦτα* MV ante *ἐπὶ τ. πλ.* add. *αἰεὶ* M, *ἀεὶ* V *πλεῖστον, ἵν'* V 14 *ἐναντιῶτο* V 15 *ὡυτὸς* V ut saepius *καὶ ἢν* M *πτισ. δέῃ* MV 18 ante *τριτ.* add. *ἢ* M 21 *καὶ ἐπὶ τούτοισι* M *παρὰ πλησίοι(ς[2])* A *ὁποῖαί περ* M, *ὁκοῖα ἅπερ* V 22 *πρὸς ἄρσηος* V 23 *ἀλλὰ γὰρ* pro *ἀτὰρ* V *τι* M

μέλλῃ πίνειν, τῶν προσγραφησομένων ωὑτός λόγος τὸ ἐπίπαν ἐστίν. οἶδα δὲ τοὺς ἰητροὺς τὰ ἐναντιώτατα ἢ ὡς δεῖ ποιέοντας· βούλονται γὰρ πάντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους ἢ δύο ἢ τρεῖς ἢ καὶ πλείους ἡμέρας οὕτω προσφέρειν τὰ ῥυφήματα καὶ τὰ πόματα· καὶ ἴσως τι καὶ εἰκὸς δοκεῖ αὐτοῖσι εἶναι μεγάλης μεταβολῆς γινομένης τῷ
280 *σώματι μέγα τι κάρτα καὶ ἀντιμετα|βάλλειν.*

27. *Τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει μὴ ὀλίγον· ὀρθῶς μέντοι ποιητέη καὶ βεβαίως ἡ μεταβολὴ καὶ ἔκ γε τῆς μεταβολῆς ἡ πρόσαρσις τῶν γευμάτων ἔτι μᾶλλον. μάλιστα μὲν οὖν ἂν βλάπτοιντο, εἰ μὴ ὀρθῶς μεταβάλλοιεν, οἱ οὔλῃσι τῇσι πτισάνῃσι χρεώμενοι· βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ ποτῷ χρεώμενοι, βλάπτοιντο δ' ἂν καὶ οἱ μούνῳ τῷ χυλῷ χρεώμενοι, ἥκιστα δ' ἂν οὗτοι.*

9 L. 28. *Χρὴ δὲ καὶ τὰ μαθήματα ποιεῖσθαι ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων, οἷα συμφέρει·*
282 *εἰ γὰρ δὴ τοῖσί γε | ὑγιαίνουσι φαίνεται διαφέροντα μεγάλα τὰ τοῖα ἢ τοῖα διαιτήματα καὶ ἐν ἄλλῳ τινὶ καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἐν τῇσι νούσοισι διαφέρει μέγα καὶ τούτων ἐν τῇσιν ὀξυτάτῃσι μέγιστα;*

1 *μέλλει* A, *οι* ss. A[3] post *πίνειν* add. *καὶ* M *γραφησομένων* MV post *ωὑτός* add. *μοι* MV 2 *δὲ καὶ τοὺς ἰητρ.* M 3 *ἅπαντες* MV 6 *ποτὰ* pro *πόμ.* MV 7 *μεγ. τῆς μετ. γεν.* MV 9 *τὸ δὲ μεταβ.* om. V *ἔχῃ* V *ἔχει, εἰ μὴ* DFGJZT' cod. F ap. Foes., Imp. Samb. ap. Mack. 10 *μέντοι γε μεταβιβαστέη* (*-σταίη* M, *-σταῖς ἢ* V) *καὶ ἡ μεταβ.* MV Gal. in cit. XV, 579 Kuehn *βεβαίως* A, *ο* ss. A[3] 11 *γευσμάτων* M 12 *βλάπτ. ἂν* MV *μεταβάλλειεν* A 14 *χυλῷ* pro *ποτῷ* V *βλάπτοιντο — χρεώμενοι* om. A 15 *ποτῷ* pro *χυλῷ* V 17 *συμφέροι* A 18 *γὰρ* mut. A[3] in *γε* *φαίνονται* A 19 ante *μέγ.* add. *τὰ* M *ποῦ τινι* MV, *που* om. A 20 *ἄλλῃσι* pro *τῇσι* A *ἔν γε τῇσι* MV 21 *μεγάλα* MV *τῇσιν ὀξυτάτῃσιν* A[1], mut. in *τοῖσιν ὀξυτάτοισιν* A[4] *μάλιστα* pro *μέγιστα* MV

*ἀλλὰ μὴν εὐκαταμάθητόν ἐστιν, ὅτι φαύλη δίαιτα βρώσιος καὶ πόσιος αὐτὴ ἑωυτῇ ἐμφερὴς αἰεὶ ἀσφαλεστέρη ἐστὶν τὸ ἐπίπαν ἐς ὑγιείην, ἢ εἴ τις ἐξαπίνης μέγα μεταβάλλοι ἐς ἄλλα. ἐπεὶ καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπιναῖοι μεταβολαὶ βλάβας καὶ ἀρρωστίην παρέχουσιν. καὶ τοὺς
μέν γε μὴ | μεμαθηκότας ἀριστᾶν, ἢν ἀριστήσωσιν,* 284
εὐθέως ἀρρώστους ποιεῖ καὶ βαρέας ὅλον τὸ σῶμα καὶ ἀσθενέας καὶ ὀκνηρούς· ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας. ἐνίοισι δ' ἂν καὶ σπατίλη γένοιτο, ὅτι παρὰ τὸ ἔθος ἠχθοφόρηκεν ἡ κοιλίη εἰθισμένη ἐπιξηραίνεσθαι καὶ μὴ δὶς διογκοῦσθαι μηδὲ δὶς ἕψειν τὰ σιτία.

29. *Ἀρήγει οὖν τούτοισιν ἀναση|κῶσαι τὴν μετα-* 286
*βολήν· ἐγκοιμηθῆναι γὰρ χρή, ὥσπερ νύκτα ἄγοντα μετὰ τὸ δεῖπνον, τοῦ μὲν χειμῶνος ἀρριγέως, τοῦ δὲ θέρεος ἀθαλπέως· ἢν δὲ καθεύδειν μὴ δύνηται, βραδεῖαν, συχνὴν ὁδὸν περιπλανηθέντα, μὴ στασίμως, δειπνῆσαι μηδὲν ἢ ὀλίγα μηδὲ βλαβερά· ἔτι δὲ ἔλασσον πιεῖν καὶ μὴ ὑδαρές. ἔτι δὲ μᾶλλον ἂν πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς φάγοι τῆς ἡμέρης ἐς κόρον· ἔτι δὲ
μᾶλλον, εἰ | πλεονάκις· καίτοι γε πολλοί εἰσιν οἳ* 288

1 *γε* post *εὐκαταμ.* add. MV 2 *ἑωυτῆς* M 3 *ὑγείην* MV 4 *μεταβάλοι* V *ἄλλο* MV (in ras.) A[1], *ἄλλα* A ex emendatione post *ἄλλο* add. *κρέσσον* MV 5 *μονοσιτεῦσιν* MV *ἐξαπιναῖοι* A[1] mut. in *ἐξαπίναιοι* A[3], *ἐξαπίνης* V 7 *μὴ* om. MV *ἀναριστᾶν* M, *ἀνάριστα* V, ≣≣*αριστᾶν* A 8 *ποιέειν* MV 10 *δὲ καὶ .. γένοιτο ἂν* MV *σπατίλη* A[1], *σπατήλη* A[3]V, *σπατείλη* M 11 *ὁκόταν . . . ἀχθοφορήσῃ* MV *ἐ(ι³)θος* (ω supra) A 12 *μὴ δὲ* A, *καὶ* pro *μηδὲ* V, *μήτε* M *ἑψεῖν* AM 14 *ὡς* pro *ὥσπερ* MV *ἀγαγόντα* M, *ἀνάγοντα* V 15 post *μετὰ* add. *δὲ* V *ἀριγέως* AMV (*ι* mut. A² in *η*) *ἀρρ.* DS' 16 *μὴ δύν. καθεύδ.* MV 16. 17 *βραδεῖαν* A[1], mut. A² in *βραχεῖαν* 17 *περίοδον πλαν.* MV 18 *δειπνῆσαί τε* MV *καὶ μὴ* pro *μηδὲ* MV 20 *ἢ* A[1], mut. in *εἰ* A³ (bis) *φάγοιεν* A, *σιτέοιτο* pro *φάγοι* MV

εὐφόρως φέρουσι τρὶς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν.

30. *Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτεῖσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ἄρρωστοί εἰσιν καὶ δειλοὶ ἐς πᾶν ἔργον καὶ καρδιαλγέες· κρέμασθαι γὰρ αὐτοῖσι δοκεῖ τὰ σπλάγχνα, καὶ οὐρέουσι θερμὸν καὶ χλωρόν, καὶ ἡ ἄφοδος συγκαίεται. ἔστι δ' οἷσι καὶ τὸ στόμα πικραίνεται καὶ οἱ ὀφθαλμοὶ κοι-*
290 *λαίνονται καὶ οἱ κρόταφοι πάλλονται, καὶ τὰ | ἄκρα διαψύχονται, καὶ οἱ μὲν πλεῖστοι οὐ δύνανται κατεσθίειν ἀνηριστηκότες τὸ δεῖπνον, δειπνήσαντες δὲ βαρύνουσι τὴν κοιλίην καὶ δυσκοιτέουσι πολὺ μᾶλλον ἢ εἰ προηριστήκεσαν.*

31. *Ὁπότε οὖν ταῦτα τοιαῦτα γίνεται τοῖσιν ὑγιαίνουσιν εἵνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς, παρὰ τὸ ἔθος οὔτε προσθεῖναι λυσιτελεῖν φαίνεται οὔτε ἀφελεῖν.*

32. *Εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας ὅλην τὴν ἡμέρην κενεαγγήσας δειπνήσειεν ὁπόσον εἴθιστο, εἰκὸς αὐτόν, εἰ τότε ἀνάριστος ἐὼν ἐπόνει καὶ*
292 *ἠρρώστει, δειπνήσας δὲ τότε βαρὺς ἦν, πο|λὺ μᾶλλον*
294 *βαρύνεσθαι· εἰ δέ γε ἔτι πλείω χρόνον κενεαγ|γήσας ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον βαρυνεῖται.*

33. *Τὸν οὖν παρὰ τὸ ἔθος κενεαγγήσαντα συμφέρει*

1 *δὶς σιτευόμ.* A 3 *σιτεύεσθαι* A 5 *κρεμᾶσθαι* AM 6 *δοκ. τὰ σπλ. αὐτέοισι* MV 7 *δὲ* MV 8 *κ. οἱ ὀφθ. κοιλ.* om. A 10 *διαψύχεται* Gal. i. t. et in cit. t. 16, p. 314 Kuehn *μὲν* ante *πλεῖστοι* om. V *πλεῖστοι οἳ ἂν ἠριστηκότες* A *πλ. τῶν ἀνηριστηκότων οὐ δύν. κατεσθ.* (*κατεσθίειν* om. M) *τὸ δ.* MV 11 *δὲ* ante *βαρύν.* om. A 12 *εἰ ἢ* M 14 *ὁκοτέων* pro *ὁπ. οὖν* V 18 *μόνος σιτήσας* V 19 *τὴν* post *ὅλην* om. MV 20 *ὅτε* pro priore *τότε* A 21 ad *ἠρρώστει* i. m. *ἢ ἠρίστα* A[3] 22 *βαρύνειν* A 23 *ἐπὶ* pro *ἔτι* A *βαρύνηται* A, *ἂν βαρύνοιτο* MV 24 *γοῦν* A[1], sed *γ* eras.

ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε· ἀρριγέως καὶ ἀθαλπέως καὶ ἀταλαιπώρως — ταῦτα γὰρ πάντα βαρέως ἂν ἐνέγκαι —, τὸ δὲ δεῖπνον συχνῷ ἔλασσον ποιήσασθαι ἢ ὅσον εἴθιστο καὶ μὴ ξηρόν, ἀλλὰ τοῦ πλαδαρωτέρου τρόπου· καὶ πιεῖν μὴ ὑδαρὲς μηδὲ ἔλασσον ἢ κατὰ λόγον τοῦ βρώματος· καὶ τῇ ὑστεραίῃ | ὀλίγα ἀριστῆσαι, 296 ὡς ἐκ προσαγωγῆς ἀφίκηται ἐς τὸ ἔθος.

34. *Αὐτοὶ* μέντοι σφέων αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω· τὴν δέ γε ἀσιτίην τὴν παρὰ τὸ ἔθος οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον τὸ ἐπίπαν, ὥστε καὶ τὴν μονοσιτίην τὴν παρὰ τὸ ἔθος εὐφορώτερον ἂν οὗτοι ἐνέγκαιεν.

35. *Ἱκανὸν* μὲν καὶ τοῦτο σημεῖον, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμέων καὶ τὰς ἕξιας συμβαινόντων μάλιστα νοσοποιέουσιν. οὐ δὴ οἷόν τε παρὰ καιρὸν οὔτε σφοδρὰς τὰς κενεαγγίας ποιεῖν οὔτε ἀκμαζόντων τῶν νοσημάτων καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν οὔτε ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν οὔτε ἐπὶ τὰ οὔτε ἐπὶ τά.

10 L. 36. *Πολλὰ* δ' ἄν τις ἠδελφισμένα τούτοισι 298 τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι, ὡς εὐφόρως μὲν φέρουσι 21 τὰ βρώματα, ἃ εἰθίδαται, ἢν καὶ μὴ ἀγαθὰ ᾖ φύσει·

1 *ἀντισϊκ.* A, emend. A[3] *ἀριγ.* AM, *ἀρραγ.* V 3 *ἂν* om. A *ἐνέγκοι* MV *καὶ τὸ δεῖπνον* MV *ποιεῖσθαι* V 5 ante *πιεῖν* add. *μετὰ ταῦτα* M, *μεταπιεῖν* pro *πιεῖν* V *μὴ δὲ* A, *μηδὲν* V *ἢ* post *ἐλασσον* om. A 6 *τοῦ* om. M *ὑστέρα ἢ* pro *ὑστεραίῃ* V 9 *γε* om. MV 10 *τὴν* post *ἀσιτ.* om. A *ἄν*(ω ss. A[2]) A 11 post *εὐφορ.* add. *φέρουσι*(*ν* M) MV, om. A *καὶ* post *ὥστε* om. A 12 *ξυμφερώτερον* pro *εὐφορ.* M *ἐνέγκεστεν* A, -*κοιεν* M 13 *μὲν οὖν καὶ* MV 14 *ἡμῖν* MV 15 *οὐδ' ἡ* M, *οὗ δὴ* V *οιονται* MVA[1], mut. in *οἷόν τε* A[4] 16 *σφόδρα* MV 18 *οἴονται* MVA[1], emend. A[3 et 4] 19 *ἔπειτα* pro *ἐπὶ τὰ* AV, alterum *οὔτε ἐπὶ τὰ* om. AV 20 ante *πολλὰ* add. *τὰ* V 22 *εἰθισμένοι εἰσὶν* MV bis (126, 2) *ἢν κἂν μὴ* A.

ὡσαύτως δὲ καὶ τὰ ποτά· δυσφόρως δὲ φέρουσι τὰ βρώματα, ἃ μὴ εἰθίδαται, κἢν μὴ κακὰ ᾖ· ὡσαύτως δὲ καὶ τὰ ποτά.

37. *Καὶ ὅσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιεῖ ἢ σκόροδα ἢ σίλφιον ἢ ὀπὸς ἢ καυλὸς ἢ ἄλλα ὅσα τοιουτότροπα μεγάλας δυνάμιας ἰδίας ἔχοντα, ἧσσον ἄν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιεῖ ἐν τῇσι κοιλίῃσι μᾶλλον ἄλλων· ἀλλὰ εἰ δὴ καταμάθοι, ὅσον μᾶζα ὄχλον καὶ ὄγκον καὶ φῦσαν καὶ* 300 *στρόφον | κοιλίῃ παρέχει παρὰ τὸ ἔθος βρωθεῖσα τῷ ἀρτοφαγεῖν εἰθισμένῳ ἢ οἷον ἄρτος βάρος καὶ στάσιν κοιλίης τῷ μαζοφαγεῖν εἰθισμένῳ ἢ αὐτός γε ὁ ἄρτος θερμὸς βρωθεὶς οἵην δίψαν παρέχει καὶ ἐξαπιναίην πληθώρην διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον, καὶ οἱ ἄγαν καθαροί τε καὶ συγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες οἷα διαφέροντα ἀλλήλων ποιεῦσι καὶ μᾶζά γε ξηρὴ παρὰ τὸ ἔθος ἢ ὑγρὴ ἢ γλίσχρη, καὶ τὰ ἄλφιτα οἷόν τι ποιεῖ τὰ ποταίνια τοῖσι μὴ εἰωθόσι καὶ τὰ ἑτεροῖα τοῖσι τὰ ποταίνια εἰωθόσι· καὶ οἰνοποσίη καὶ ὑδροποσίη παρὰ τὸ ἔθος ἐς θάτερα μεταβληθέντα*

ἢν μὴ καὶ κακὰ (pro *ἀγαθὰ*) *ᾖ* M *φύσει* om. M, *φύσηος* V 2 *ἢν μὴ καὶ κακὰ ᾖ* V, *εἰ καὶ καλὰ ᾖ* 3 *τὰ* ante *ποτά* om. M 6. 7 *ἔχ. ἰδ.* MV, *ἰδέας* V 7 *ἡ* pro *εἰ* A^1, emend. A^2 ut saepius 8 *ἐν* om. MV *τοῖσι* A^1, emend. A^2 ante *ἄλλων* add. *τῶν* M *ἄλλα· εἰ δὲ* (scripsi *δὴ*) A, *ἀλλ' εἰ* sine *δὲ* MV 9 *καταμάθοις* M, *καταμάθῃς* V *ὅκως ἂν* pro *ὅσον* M, *ὁκόσον* V *τε* post *μᾶζα* (*μάζα* V) add. MV *φύσαν* AMV 10 *κοιλίῃν* A^1, mut. in *κοιλίῃς* A^4, *κοιλίῃ* ab ead. m. i. m. M *παρέχῃ* M 11 *μὴ μαζοφαγέειν* pro *ἀρτοφαγεῖν* MV *ἢ οἷον — εἰθισμένῳ* alterum om. AV *τάσιν* pro *στάσιν* cod. Flor. ap. Dietz. p. 113 12 *τε* pro *γε* AM 12. 13 *διὰ τί ὁ ἄρτος θερμὸς βρωθεὶς παρέχει δίψος* i. m. A 14 *βραδύτερον* M 16 *οἷα* om. MV *διαφέροντα* A^1, mut. in *-νται* A^4 *μάζα* V ut saepius 17 *τε* pro *γε* MV 18 ad *ποταίνια* i. m. *τὰ προσφάγια* (*πρόσφατα* Ilb. coll. Erot. p. 110, 11 Kl.) M 20 *εἰ* pro *ἐς* V

ἐξαπίνης καὶ ὑδαρής τε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς — ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει καὶ φῦσαν ἐν τῇ κάτω, ὁ δὲ παλ|μόν τε φλεβῶν καὶ καρηβαρίην καὶ δίψαν — καὶ 302 λευκός τε καὶ μέλας παρὰ τὸ ἔθος μεταβληθείς, εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα· ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι μὴ τωὐτὸ δύνασθαι ἐξαπίνης μεταβληθέντα.

11 L. 37 β'. Τιμωρητέον μὲν δὴ τοιόνδε τι μέρος τῷ ἐναντίῳ λόγῳ· ὅτι ἡ μεταβολὴ τῆς διαίτης τούτοισιν ἐγένετο οὐ μεταβάλλοντος τοῦ σώματος οὔτ' ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτ' ἐπὶ τὴν ἀρρωστίην, ὥστ' ἀφαιρεθῆναι.

38. Προστεκμαρτέα δὴ καὶ ἡ ἰσχὺς καὶ ὁ τρόπος τοῦ νοσήματος | ἑκάστου καὶ τῆς φύσιος τοῦ [τε] 304 ἀνθρώπου καὶ τοῦ ἔθεος τῆς διαίτης τοῦ κάμνοντος, οὐ μοῦνον σιτίων, ἀλλὰ καὶ ποτῶν. πολλῷ δ' ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον· ἐπεί γε τὴν ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελεῖ, ὅπου διαρκεῖν μέλλει ὁ κάμνων, μέχρι ἂν τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ. ἐν ὁποίοισι δὲ τὸ τοιόνδε ποιητέον, γεγράψεται.

1 ὑδαρής γε V 1. 2 παρὰ τὸ ἔθος om. MV 2 πλαδόν V πλάδον γε A 4 καὶ ante λευκὸς om. A 5 μέλας οἶνος MV μεταβάλλοντι MV, -βάλλουσι(ν [2]) A, scripsi -βληθείς 5. 6 ἢ καὶ M 6 ὁμοίως pro ὅμως A 7 οἶνον οἰνώδεα M ad ἧσσον i. m. ἶσον A[4] 8 τις om. A φαίει A[1], mut. in φαίη A[3] 10 δὲ pro μὲν δὴ MV 11 ὅτι ἡ (vulg.) om. A, ἡ om. V, ὅτι μὴ M 12 μεταβαλόντος M οὔτε MV 15 προστεκμαρταία A ἡ om. M 16 ἑκάστοισι MV τε om. Gal. comm. Litt. 17 ἔτε (ος supra) A 18 σίτων V πολλῶν pro πολλῷ V δὲ MV 19 ἐπὶ pro ἐπεὶ MA[1] τήν γε MV 20 δ' (εἴσυντε in ras. A[3]) λέει pro λυσιτ., ὅπ. δ. μέλλ. A 21 ἂν om. A, ἢν pro ἂν MV 22 ὁκόσοισι V

39. *Πολλὰ δ' ἄν τις καὶ ἄλλα ἠδελφισμένα τοῖς
εἰρημένοισι γράφοι· τόδε γε μὴν κρέσσον μαρτύριον·
οὐ γὰρ ἠδελφισμένον μοῦνόν ἐστι τῷ πρήγματι, περὶ
οὗ μοι ὁ πλεῖστος λόγος εἴρηται, ἀλλ' αὐτὸ τὸ πρῆγμα
ἐπικαιρότατόν ἐστιν διδακτήριον· οἵ γὰρ ἀρχόμενοι τῶν*
306 *ὀξέων νοσημάτων ἔστιν ὅτε οἵ μὲν σιτία ἔφαγον | αὐθη-
μερὸν ἠργμένοι ἤδη, οἵ δὲ καὶ τῇ ὑστεραίῃ, οἵ δὲ καὶ
ἐρρύφεον τὸ προστυχόν, οἵ δὲ καὶ κυκεῶνα ἔπιον.
ἅπαντα δὲ ταῦτα κακίω μέν ἐστιν, ἢ εἰ ἑτεροίως διαι-
τηθείη· πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ
τῷ χρόνῳ ἁμαρτηθέντα, ἢ εἰ τὰς μὲν πρώτας δύο
ἡμέρας ἢ τρεῖς κενεαγγήσειε τελέως, τεταρταῖος δὲ
ἐὼν τοιάδε διαιτηθείη ἢ πεμπταῖος· ἔτι μέντοι κάκιον,
εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας ἐν τῇσιν
ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον
τὴν νοῦσον γενέσθαι· οὕτω μὲν γὰρ θάνατον φέρει
φανερῶς τοῖς πλείστοις, εἰ μὴ πάμπαν ἡ νοῦσος εὐήθης
εἴη. αἵ δὲ κατ' ἀρχὰς ἁμαρτάδες οὐχ ὁμοίως ταύτῃσιν
ἀνήκεστοι, ἀλλὰ πολλῷ εὐακεστότεραι. τοῦτο οὖν
ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἵ*
308 *πρῶται ἡμέραι τοῦ ῥυφήματος ἢ τοίου ἢ τοίου | τοῖσι*

1 *ἀλλ'* V 2 *γράφοιτο γε* V *τὸ δέ γε* A, *τό γε* M *μοι* pro *μὴν* in ras. A 3 *μοῦνόν* om. M *ἔστι* A 4 *εἰρέαται* A 5 *ἐστιν* om. MV 6 *νούσων* A 7 *ἠρι*(*ι* mut. in *γ* A[2])*μένοι* A 8 *ἐρρόφεον*, *ρ* alt. add. A[4] *ἐρρόφεον* pro *ἔπιον* M 9 *ἑτέρως* V *τις* ante *διαιτ.* add. M 10 *μὲν* pro *μέντοι* A *φέροι* V 11 *εἴ τις τὰς* M 12 *ἡμέρας δύο* MV *κενεαγγιῆσε* (*αι* ss.) A, ss. A[3] *τελοίως* A, *ο* mut. in *ε* A[2] 13 *καὶ* pro *ἢ* V, *ἢ καὶ* M 14 *κενεαγγήσας* V 15 *ἢ* om. MV 16 *γεν. τ. νοῦσ.* MV 17 *παντάπασί τις* MV *εὐηθὴς ἡ ν.* M 18 *καταρχὰς* A 19 post *ἀνήκ.* add. *εἰσιν* MV *οὖν* om. V 20 *στερηταίαι* A 21 *ἢ* (mut. A[3] in *εἰ*) *τοιούτοισι μέλλ.* A

μέλλουσιν ὀλίγον ὕστερον ῥυφήμασιν ἢ σιτίοισι χρῆσθαι.

40. *Πυθμενόθεν μὲν οὖν οὐκ ἴσασιν οὔθ' οἱ τῇσι κριθώδεσι πτισάνῃσι χρεώμενοι, ὅτι αὐτῇσι κακοῦνται, ὅταν ῥυφεῖν ἄρξωνται, ἢν προκενεαγγήσωσιν δύο ἢ τρεῖς ἡμέρας ἢ πλείους, οὔτ' αὖ οἱ τῷ χυλῷ χρεώμενοι γινώσκουσιν, ὅτι τοιούτοισι βλάπτονται ῥυφέοντες, ὅταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥυφήματος. τόδε γε μὴν καὶ φυλάσσουσι καὶ γινώσκουσιν, ὅτι μεγάλην τὴν βλάβην φέρει, ἤν, πρὶν πέπειρον τὴν νοῦσον γενέσθαι, κριθώδεα πτισάνην ῥυφῇ ὁ κάμνων, εἰθισμένος χυλῷ χρῆσθαι.*

41. *Πάντα οὖν ταῦτα μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν ἐς τὰ διαιτή|ματα οἱ ἰητροὶ τοὺς* 310 *κάμνοντας· ἀλλ' ἐν ᾗσί τε νούσοισιν οὐ χρὴ κενεαγγεῖν τοὺς μέλλοντας ῥυφήμασι διαιτᾶσθαι, κενεαγγέουσιν, ἐν ᾗσί τε οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγίης ἐς ῥυφήματα, ἐν ταύτῃσι μεταβάλλουσι. καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπαρτὶ ἐν τούτοισι τοῖσι καιροῖσι μεταβάλλουσιν ἐς | τὰ* 312 *ῥυφήματα ἐκ τῆς κενεαγγίης, ἐν οἷσι πολλάκις ἀρήγει ἐκ τῶν ῥυφημάτων πλησιάζειν τῇ κενεαγγίῃ, ἢν οὕτω τύχῃ παροξυνομένη ἡ νοῦσος.*

1 ἢ *τοισι* (ss. *σϊ ϊ*) A, ss. A[3], ἢ *τοίοις* ἢ *τοίοις* M, ἢ *τοιοῖσι* (semel) V 3 *πυθμέσιν· ὅθεν* V *οὐκίνσασιν οὐ θυ τῇσιν* M 4 *κριθώδησι* MV *αὐτοῖσι* A, *αὐτέοισι* MV 5 *ὅτ' ἂν* pro *ἢν* A 6 *ἂν* pro *αὖ* A *οἱ ταῦ οι* M 7 *αὐτοῖσι* A, *αὐτέοισι* MV pro *τοιούτοισι* (S') *χρεόμενοι* pro *ῥυφ.* V 8 *ὁκόταν* MV 8. 9 *τὸ δέ* (accentus non primae m.) *γε μὴν καὶ φυλ.* A, *τότε μὴν φυλάσσωσι* M, *τότε μὲν φυλ.* V 11 *ῥοφέῃ* A, *ῥοφήσῃ* MV 15 *ἐνίῃσί* M 15 et 17 *ἧσι τὲ* V 18 *ἐπιτοπολὺ* A 19 *ἁμαρτά(ι* add. A[2]*)νει* (*ει* A[3]) *ὁτέ δ' ἐν τούτοισι τοιούτοισι καιρ.* A, *ἁμαρτάνουσιν. ἐνίοτε δὲ ἐν τοῖσι καιρ.* M, *ἁμαρτάνουσιν ἐνίοτε. ἐν τοῖσι τοιούτοισι καιρ.* V, *ἀπαρτὶ* ex Gal. et Par. R' Littraeus; idem del. *ἐνίοτε* (*δὲ*)

42. *Ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται ἀπὸ τῆς κεφαλῆς καὶ τοῦ περὶ θώρηκα τόπου χολώδεα· ἀγρυπνίαι τε συνεμπίπτουσιν αὐτοῖσι, δι' ἃς οὐ πέσσεται ἡ νοῦσος, περίλυποι δὲ καὶ πικροὶ γίνονται καὶ παραφρονέουσι, καὶ μαρμαρυγώδεά σφεων τὰ ὄμματα καὶ αἱ ἀκοαὶ* |
314 *ἤχου μεσταὶ καὶ τὰ ἀκρωτήρια κατεψυγμένα καὶ οὖρα ἄπεπτα καὶ πτύσματα λεπτὰ καὶ ἁλυκὰ καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρὰ καὶ ἱδρῶτες περὶ τράχηλον καὶ διαπορήματα καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ πυκνὸν ἢ μέγα λίην, ὀφρύες δεινώσιος μετέχουσαι, λειποψυχώδεα πονηρὰ καὶ τῶν ἱματίων ἀπορρίψιες ἀπὸ τοῦ στήθεος καὶ χεῖρες τρομώδεες, ἐνίοτε δὲ καὶ χεῖλος τὸ κάτω σείεται. ταῦτα δ' ἐν ἀρχῇσι παραφαινόμενα παραφροσύνης δηλωτικά ἐστι σφοδρῆς, καὶ ὡς ἐπὶ τὸ πολὺ θνήσκουσιν· οἱ δὲ διαφεύγοντες ἢ μετὰ ἀποστήματος ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς ἢ πῦον παχὺ πτύσαντες διαφεύγουσιν, ἄλλως δὲ οὔ.*

316 43. *Οὐδὲ γὰρ τῶν τοιούτων ὁρῶ ἐμπεί|ρους τοὺς ἰητρούς, ὡς χρὴ διαγινώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵ τε διὰ κενεαγγίην ἀσθενεῦνται, αἵ τε δι' ἄλλον τινὰ ἐρεθισμόν, αἵ τε διὰ πόνον καὶ ὑπὸ ὀξύτητος τῆς νούσου, ὅσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα·*

1 *τε* pro *τῆς* M 3 *συμπίπτουσι* A, *ν* add. A^3 4 *τε* pro *δὲ* MV 5 *μαρυγώδεα* V 6 *τὰ* om. MV 7 *ἁλ.* corr. ex *ἀλυκὰ* V *καὶ ἁλ. καὶ σμ. καὶ κεχρ.* Gal. comm. XV, 600 ante *κεχρ.* add. *ἄκρως* V 9 *προσπτέον* A 10 *δυνώσιος* A 13 *δὲ* MV *ἐπιφαιν.* H R' S' Gal. 14 *ἔστι* A 15 *πολλὺ* A^1 mut. A^2 in *πολλοὶ* *ἀποθν.* MV 16 *μὲν τὰ* pro *μετὰ* M 17 *πυρὸν* pro *πῦον* A, *πύον* V *διαφεύγ.* om. MV 18 *ὀρρodέω* pro *ὁρῶ* M *ἐμπύρ.* A^1 mut. in *ἐμπείρ.* A^3 20 *ἀσθενευντσ* A^1 mut. in *-ται* A^3, *ἀσθενέοντες* M, *ἀσθενέονται* V *αἶται* A 21 *ἐρεθισμέναι* pro *ἐρ. αἵ τε διὰ* V 23 *ἐκτέμνει* A

καίτοι σωτηρίην ἢ θάνατον φέρει γινωσκόμενα καὶ ἀγνοεύμενα τὰ τοιάδε.

44. *Μέζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι προσαίρῃ τις ποτὸν ἢ ῥύφημα πλέον ἢ σιτίον, οἰόμενος διὰ κενεαγγίην ἀσθενεῖν. ἀεικὲς δὲ καὶ διὰ κενεαγγίην ἀσθενέοντα μὴ γνῶναι καὶ πιέζειν τῇ διαίτῃ· φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτάς, πολλῷ δὲ ἥσσονα τῆς ἑτέρης· καταγελαστοτέρη δὲ πολλῷ αὕτη μᾶλλον ἡ ἁμαρτὰς τῆς ἑτέρης· εἰ γὰρ ἄλλος ἰητρὸς ἢ καὶ δημότης* | *ἐσελθὼν καὶ γνοὺς τὰ συμβεβηκότα δοίη* 318 *καὶ φαγεῖν καὶ πιεῖν, ἃ ὁ ἕτερος ἐκώλυεν, ἐπιδήλως ἂν δοκέοι ὠφεληκέναι. τὰ δὲ τοιάδε μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων· δοκεῖ γὰρ αὐτοῖσιν ὁ ἐπεσελθὼν ἰητρὸς ἢ ἰδιώτης ὡσπερεὶ τεθνεῶτα ἀναστῆσαι. γεγράψεται οὖν καὶ περὶ τούτων σημεῖα, οἷσι χρὴ ἕκαστα τούτων διαγινώσκειν.*

12 L. 45. *Παραπλήσια μέντοι τοῖσι κατὰ κοιλίην ἐστὶ καὶ ταῦτα· καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πολὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἔρρωται μᾶλλον· ἢν δὲ δὴ καὶ πλείω χρόνον διελινύσαν ἐξαπίνης ἐς τοὺς πόνους ἔλθῃ, φαῦλόν τι πρήξει ἐπιδήλως. οὕτω δὲ καὶ ἓν ἕκαστον τοῦ σώματος· καὶ γὰρ οἱ πόδες τοιόνδε*

1 ἢ pro *καὶ* MV 2 *τοιαῦτα* MV 4 *προσαιρῇ* A, *προσφέρῃ* MV vulg. *τίς* V 5 *σῖτον* A 6 *ἀσθενεῖν — κενεαγγ.* om. V 8 *δὲ* post *πολλῷ* om. A 9 *ἧσσον* MV 10 *η* A[1], mut. A[3] in *εἰ* ἢ ss. V 11 *ἰδιώτης* pro *δημ.* MV 12 *καὶ* prius om. V *ἐκώλυσεν* M 13 *δοκοίη* MV *τοιαῦτα* MV 15 *ἐσελθὼν* MV *ἰδιώτης* V ut saepius *ὥ(σ* A[2]*)περ εἰ* A 16 *τουτέους* M, *τουτέου* V 17 *δεῖ* pro *χρὴ* MV 21 *τε* pro *δὲ* MV *δει(δι* A[4]*)ελυ(λι* A[3]*)νυ(*A[3] i. r.*)σας* A, *διελεινύσας* M, *διελλινύσας* V, *διελλινῆσαν* S' 22 *φλαῦρόν τι* M, *φλαῦρον τί* V *πρήξειε* M 23 *κ' ἓν ἑκάστωι* M post *γὰρ* add. *ἢν* M *οἱ* om. MV

320 τι πρήξειαν ⟨ἂν⟩ καὶ τἄλλα ἄρ|θρα, μὴ εἰθισμένα
πονεῖν, ἢν διὰ χρόνου ἐξαπίνης ἐς τὸ πονεῖν ἔλθῃ·
ταὐτὰ δ' ἂν καὶ οἱ ὀδόντες καὶ οἱ ὀφθαλμοὶ πάθοιεν,
καὶ οὐδὲν ὅ τι οὔ· ἐπεὶ καὶ κοίτη παρὰ τὸ ἔθος μαλθακὴ πόνον ἐμποιεῖ καὶ σκληρὴ παρὰ τὸ ἔθος, καὶ ὑπαίθριος [κοίτη] παρὰ τὸ ἔθος σκληρύνει τὸ σῶμα.

46. Ἀτὰρ τῶν τοιῶνδε πάντων ἀρκέσει παράδειγμά τι γράψαι· εἰ γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ μήτε λίην ἐπίκαιρον μήτε λίην εὔηθες, μήτε ἄγαν εὐελκὴς ἐὼν μήτε ἄγαν δυσελκής, αὐτίκα ἀρξάμενος ἐκ πρώτης
322 κατακείμενος ἰητρεύοιτο καὶ | μηδαμῇ μετεωρίζοι τὸ σκέλος, ἀφλέγμαντος μὲν ἂν εἴη οὗτος μᾶλλον καὶ ὑγιὴς πολλῷ θᾶσσον ἂν γένοιτο, ἢ εἰ περιπλανώμενος ἰητρεύοιτο· εἰ μέντοι πεμπταῖος ἢ ἑκταῖος ἐών, ἢ καὶ ἔτι ἀνωτέρω, ἀναστὰς ἐθέλοι προβαίνειν, μᾶλλον ἂν πονέοι τότε, ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο· εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν
324 μᾶλλον πονήσειεν, ἢ εἰ κείνως ἰητρευόμε|νος τὰ αὐτὰ

1 τι om. A πρήξει A, πρήξειαν MV ἂν add. Gomp. τὰ ἄλλα MV ἄρθρα om. M εἰ=θισμένω M 2 ἢν — πονεῖν om. A ἐς MV Gal., πρὸς vulg. ἔλθει A 3 ταὐτὰ Erm., ταῦτα codd. οἱ ante ὀφθ. om. A 4 οὐθὲν MV ὅ τι οὔ Cobet (Erm. I, 313), ὅτιαν A[1], αν mut. in ουν A[2], ὁτιοῦν MV ἐπὶ A[1], corr. ante παρὰ add. ἡ MV 5 ἐμποιῇ A 6 ὑπερθριος A[1] mut. A[3] in ὑπαίθριος, ὕπαιθρος M (ε super αι) V εὐνὴ pro κοίτη MV ὕπαιθρος π. τ. ἔ. εὐνὴ Gal. κοίτη del. Gomp. σκληρύνῃ A 7 post ἀτὰρ add. καὶ τὰ M, κατὰ V τῶν om. M ἀρκέει MV παραδείγματα A, παραδείγματι MV
9 post εὔηθες add. ὢν M μήτε ἄγαν δυ=σελκὴς ὢν μ. ἀ. εὐελκής M 11 παρακείμ. A μηδαμοῦ V μετε(mut. in αι)ωρίζει A
12 οὗτο(ο corr. ex ω)ς A, οὕτως εἴη sine μᾶλλον MV 13 ἂν ante γέν. om. M ante γέν. add. οὕτω MV εἴπερ πλαν. A, εἰ πλαν. MV, εἰ περιπλ. Gal. i. t. S' R' 14 ἐών om. MV ἢ ante καὶ om. A 15 προφαίν. M 16 πονέοιτο AV τότε om. AV αὐτίκα ἢ εἰ A ἐξαρχῆς A 17 ἂν μᾶλλον om. A 18 ἢ κεῖνος VA (mut. A[3] in κείνως), ἢ ἐκείνως M εἰ om. codd., restit. Littr. τὰ

ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσιν τῇσιν ἡμέρῃσιν. διὰ τέλεος οὖν μαρτυρεῖ ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα ἐξαπίνης μέζον πολλῷ τοῦ μετρίου μεταβαλλόμενα καὶ ἐπὶ τὰ καὶ ἐπὶ τὰ βλάπτει.

47. Πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστίν, ἢν ἐκ πολλῆς κενεαγγίης ἐξαπίνης πλέον τοῦ μετρίου προσαίρηται — καὶ κατὰ τὸ ἄλλο σῶμα, ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλείω πόνον ἔλθῃ, πολλῷ πλείω βλάψει —, ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγίην μεταβάλλοι· δεῖ μέντοι καὶ τὸ σῶμα τούτοισιν ἐλινύειν· κἢν ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε καὶ ῥαθυμίην ἐμπέσῃ, δεῖ δὲ καὶ τούτοισι τὴν κοιλίην ἐλινύειν ἐκ πλήθεος βρώμης· εἰ δὲ μή, πόνον ἐν τῷ σώματι ἐμποιήσει καὶ βάρος ὅλου τοῦ σώματος.

13 L. 48. Ὁ οὖν πλεῖστός μοι λόγος γέγονεν περὶ τῆς μεταβολῆς τῆς ἐπὶ τὰ καὶ ἐπὶ τά. ἐς πάντα μὲν οὖν εὔχρη|στον ταῦτ' εἰδέναι· ἀτὰρ καί, περὶ οὗ 330
ὁ λόγος ἦν, ὅτι ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἐς τὰ ῥυφήματα μεταβάλλουσιν ἐκ τῆς κενεαγγίης· μεταβλητέον γάρ, ὡς ἐγὼ κελεύω· ἔπειτα οὐ χρηστέον ῥυφήμασιν,

αὐτὰ om. MV 1 ταύτῃσι MV, αὐτῇσιν A 2 διατελέως A οὖν om. V 3 γενόμενα pro μεταβ. V 4 καὶ ἔπι(ει A[3])τα bis A, καὶ ἔπει τα bis M, καὶ ἔπειτα semel V 6 et 8 πολῆς A 7 προσε(αι A[3])ρεῖται ἀτὰρ καὶ MV 8 ἔλθη AV 9 πολλὴ A[1], mut. A[2] in πολλῶ, πο(υ M)λὺ MV εἰ om. A πολῆς A 10 μεταβάλλει A 11 ἐλλινύειν AV post ἐλιν. comma vulg., interpunctionem dedi Littraeanam ἢν pro κἢν V ταλαιπρίης, ss. ω V 12 χολήν A[1] (σ ss. A[2]) M τε om. V ἐκπέσει A

13 ἐλλιν. A (alt. λ add. A[3]) V ἐκ om. MV πληθύως (ο ss.) A βρώμη A 14 πάρους A[1], em. al. m. 16 ante οὖν add. δὴ MV 17 ἔπειτα (ἐπὶ τα A[1], mut. A[3]) καὶ ἔπειτα AM, ἐπὶ τὰ καὶ om. et ἔπειτα pro alt. ἐπὶ τὰ V 18 ταῦτα MV 21 post κελεύω add. ἤδη MV ἔπιτα A[1], em. A[3]

πρὶν ἡ νοῦσος πεπανθῇ ἢ ἄλλο τι σημεῖον φανῇ ἢ κατὰ ἔντερον, κενεαγγικὸν ἢ ἐρεθιστικόν, ἢ κατὰ τὰ ὑποχόνδρια, οἷα γεγράψεται.

49. Ἀγρυπνίη ἰσχυρὴ πόμα καὶ σιτίον ἀπεπτότερα
332 ποιεῖ, καὶ ἡ ἐπὶ θἄ|τερα αὖ μεταβολὴ λύει τὸ σῶμα καὶ ἑφθότητα καὶ καρηβαρίην ἐμποιεῖ.

14 L. 50. Γλυκὺν δὲ οἶνον καὶ οἰνώδεα, καὶ λευκὸν καὶ μέλανα, καὶ μελίκρητον καὶ ὕδωρ καὶ ὀξύμελι τοισίδε σημαινόμενον χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισι· ὁ μὲν γλυκὺς ἧσσόν ἐστιν καρηβαρικὸς τοῦ οἰνώδεος καὶ ἧσσον φρενῶν ἁπτόμενος καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου κατὰ ἔντερον, μεγαλόσπλαγχνος δὲ σπληνὸς καὶ ἥπατος· οὐκ ἐπιτήδειος δὲ οὐδὲ τοῖσι πικροχόλοισι· καὶ γὰρ οὖν καὶ διψώδης τοῖσί γε τοιούτοις· ἀτὰρ καὶ φυσώδης τοῦ ἐντέρου τοῦ ἄνω, οὐ μὴν πολέμιός γε τῷ ἐντέρῳ τῷ κάτω κατὰ λόγον τῆς φύσης· καίτοι οὐ πάνυ πορίμη ἐστὶν ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα, ἀλλ' ἐγχρονίζει περὶ ὑποχόν-
334 δριον. καὶ γὰρ οὖν | οὗτος ἧσσον διουρητικός ἐστιν τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ· πτυάλου δὲ μᾶλλον ἀναγωγὸς τοῦ ἑτέρου ὁ γλυκύς. καὶ οἷσι μὲν διψώδης

1 πρὶν ἢ ἡ V τι om. V ἢ post φανῇ om. A 2 ἐρεθυ(ϊ A^1)στ. A^3 καὶ pro ἢ κατὰ A 3 γεγράφαται MV post γεγρ. add. σημεῖα MV 4 ἰσχυρῇ V σιτία MV post σιτ. add. ὠμὰ καὶ MV 5 τὰ ἕτ. MV ἂν pro αὖ A διαλύει MV τὸ om. AM 6 ἐφθότ. V 7 περὶ οἴνου in tit. M γλυκῦν V 9 τοῖσι δὲ AM 10 καὶ ante καρηβ. M καρηβαρικώτερος MV 12 τι om. A ποῦ pro τοῦ A^1, mut. A^2 in τοῦ κατ' MV 13 οὖν pro δὲ MV 14 ὧν pro οὖν V καὶ ante διψώδ. om. MV 15 τοιουτέοισίν ἐστιν MV τοῦ ante ἐντ. om. MV 16 τε αὐτῷ ἐντ. M, γε αὖ ἐντ. V ὡς ante κατὰ add. MV 17 post καίτοι add. γ' M 18 φύσα V ὑποχόνδρια MV 19 οὖν οὗτος om. V spatio duor. vocab. relicto, οὗτος om. M γίνεται pro ἐστιν MV 21 ἀναγωγός ἐστι MV ὁ om. M

ἐστὶν πινόμενος, ἧσσον ἂν τούτοις ἀνάγοι ἢ ὁ ἕτερος οἶνος, οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου.

51. Ὁ δὲ λευκὸς οἰνώδης οἶνος ἐπήνηται μὲν καὶ ἔψεκται τὰ πλεῖστα καὶ τὰ μέγιστα ἐν τῇ τοῦ γλυκέος οἴνου διηγήσει· ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου καὶ διουρητικὸς καὶ καταρρηκτικὸς αἰεὶ πολλὰ προσωφελεῖ ἐν ταύτῃσι τῇσι νούσοισι· καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως κατὰ κύστιν ἡ κάθαρσις ὑπ' αὐτοῦ γινομένη ῥύεται, ἢν προτρέπηται ὁποῖα δεῖ. καλὰ δὲ ταῦτα τεκμήρια [τὰ] περὶ τοῦ οἴνου καὶ ὠφελείης καὶ βλάβης· ἅσσα ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισιν.

52. Κιρρῷ δ' αὖ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν ἐς τάδε ἂν χρήσαιο· εἰ καρηβαρίη | μὲν μὴ ἐνείη μηδὲ φρενῶν ἅψις μηδὲ τὸ πτύαλον 336 κωλύοιτο τῆς ἀνόδου μηδὲ τὸ οὖρον ἴσχοιτο, διαχωρήματα δὲ πλαδαρώτερα καὶ ξυσματωδέστερα εἴη, ἐν δὴ τοῖσι τοιούτοισι πρέποι ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ καὶ ὅσα τούτοισιν ἐμφερέα. προσσυνιέναι δὲ χρή, ὅτι τὰ μὲν ἄνω πάντα καὶ τὰ κατὰ κύστιν ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ, τὰ δὲ κατ' ἔντερον μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ᾖ.

4 τὰ ante μέγ. om. A post μέγ. add. ἤδη MV 5 διηγήση A ἔων V 6 καὶ διουρητικὸς om. A post διουρ. add. δὲ ὢν M καὶ καταρρ. om. V post καταρρ. add. ὢν A 7 προσωφελέοι ἂν MV εἷς pro εἰ V 9 ἡ κατὰ (τὴν V) κύστιν καθ. MV 10 ὁκοῖον M, ὁκοῖα ἂν V ταῦτα om. V post τεκμ. add. ἐστι(ν M) MV 11 ante περὶ add. τῆς V, τὰ cet. codd., om. Gal. τοῦ ante οἴνου et καὶ ante ὠφ. om. MV ασα A[1], em. A[3], ὁκόσα MV 13 αὖ Rhd., ἂν A, om. MV 15 ἐνει A[1], ἐνῇ A[3] μὴ δὲ ter AV τὸ πτ. vulg., τὸ om. AMV 16 τὰ ante διαχωρ. add. MV 17 πλαδωδέστερα V δὲ pro δὴ A 19 ὁκόσα MV 20 δεῖ pro χρὴ MV 21 καὶ ante μᾶλλον add. MV 22 ὀνίνησιν V εἶ pro ᾖ A[1], i. m. ᾖ A[4]

15 L. 53. *Μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου ἐν τῇσιν ὀξείῃσι νούσοισιν τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι καὶ μεγαλοσπλάγχνοις ἧσσον ἐπιτήδειον ἢ τοῖσι μὴ τοιούτοισι· διψῶδές γε μὴν ἧσσον τοῦ γλυκέος οἴνου· πνεύμονός τε γὰρ μαλθακτικόν ἐστιν καὶ πτυάλου ἀναγωγὸν μετρίως καὶ βηχὸς παρη-*
338 *γορικόν· ἔχει γὰρ σμηγματῶδές | τι, ὃ ⟨οὐ⟩ μᾶλλον*
340 *τοῦ καιροῦ καταγλισχραίνει τὸ πτύαλον. | ἔστι δὲ καὶ διουρητικὸν μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ· καὶ διαχωρητικὸν δὲ κάτω χολω-*
342 *δέων, ἔστι μὲν ὅτε καλῶν, ἔστι δ' ὅτε κατακορε|στέρων μᾶλλον τοῦ καιροῦ καὶ ἀφρωδεστέρων. μᾶλλον δὲ τὸ τοιοῦτο τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται.*

54. *Πτυάλου μὲν οὖν ἀναγωγὴν καὶ πνεύμονος μάλθαξιν τὸ ὑδαρέστερον μελίκρητον ποιεῖ μᾶλλον· τὰ μέντοι ἀφρώδεα διαχωρήματα καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα καὶ μᾶλλον θερμὰ τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει· τὸ δὲ τοιόνδε διαχώρημα ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα· οὔτε γὰρ ἐξ ὑποχονδρίου καῦμα σβεννύει, ἀλλ' ὁρμᾷ, δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ἐμποιεῖ ἑλκῶδές τ' ἐστὶ*

1 ϑ̃ *περὶ μελικρήτου* i. tit. M 3 *τοῖσι* om. M *μεγάλοις σπλάγχνοισιν* V 4 *τοῖσιν οὐ* M, *τοιούτοισιν ἐστὶ(ν* M) MV *τε μιν* pro *γε μὴν* M 6 *βήχους παρηγορητικὸν* V 7 *σμιγμ.* AV *οὐ* add. Cor. l. l. p. 92 8 *κεροῦ* A[1], *κιροῦ* A[2], *κίρρον* A[3] 9 *οὐρητικὸν* MV 11 *τότε* A[1], mut. A[4] in *τ' ὅτε*, pro priore *ὅτε* *τ'* pro *δ'* A *κατακορέστερον* A 12 *μᾶλλον — ἀφρωδ.* om. A 16 *ἀκρητέστερον* A pro *ὑδαρ.* 17 *καιροῦ κατακορέως* A, ss. A[3] (ϊ, ο) 20 *καὶ* ante *ἄλλα* om. A *σημεῖα* pro *σίνεα* V in ras. 21 *ὑποχονδρίων* MV *ἀλλὰ* MV 22 *ποιέει* pro *ἐμπ.* MV *τ'* ante *ἐστι* om. M, *τε* V

καὶ ἐντέρου καὶ ἕδρης. ἀλεξητήρια δὲ τούτων γεγράψεται.

55. *Ἄνευ μὲν ῥυφημάτων μελικρήτῳ χρεώμενος ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι πολλὰ ἂν εὐτυχοίης καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης· οἷσι δὲ δοτέον καὶ οἷσιν οὐ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι' ὃ οὐ δοτέον.*

56. *Κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώ-* 344
πων, ὡς καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. ἐκλήθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας· ἔνιοι γὰρ μελικρήτῳ ποτῷ χρέονται ὡς τοιούτῳ δῆθεν ἐόντι. τὸ δὲ οὐ παντάπασιν ὧδε ἔχει, ἀλλὰ ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστιν πινόμενον μοῦνον, εἰ μὴ ταράσσοι τὴν κοιλίην· ἀτὰρ καὶ οἴνου λεπτοῦ καὶ ὀλιγοφόρου καὶ ἀνόδμου ᾗ μὲν ἰσχυρότερον, ᾗ δὲ ἀσθε|νέστερον. μέγα μὴν διαφέρει 346
καὶ οἴνου καὶ μέλιτος ἀκρητότης ἐς ἰσχύν· ἀμφοτέρων δ' ὅμως τούτων, εἰ καὶ διπλάσιον μέτρον οἴνου ἀκρήτου πίνοι τις, ἢ ὅσον μέλι ἐκλείχοι, πολλὸν ἂν δήπου ἰσχυρότερος εἴη ὑπὸ τοῦ μέλιτος, εἰ μοῦνον μὴ ταράσσοιτο τὴν κοιλίην· πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτῷ. εἰ μέντοι ῥυφήματι χρέοιτο

1 post ἕδρης add. *κοιλίης* V *ἀλεξητήρια* A^1, prius *η* mut. A^3 in *ϊ* ante *τούτων* add. *καὶ* V 3 *μὲν οὖν ῥοφ.* MV 4 *ἂν* ante *εὐτ.* bis V 5 *εὐτυχῆς* (*οι*) A *ἀτυχήσαις* MV 6 *δι' ἃ* MV 9 *καταγυοῖ* MV 10 *ἐνεκλήθη* Cor. l. l. p. 95 11 *ἀπὸ κάρτα ῥέοντας* V 12 *τοιοῦδε .. ἐόντος* MV *τὰ δὲ οὐ παντάπασι μὲν ὧδε ἔ.* V 13 *ἀλλ'* MV 14 *ἐκταράσσοι* M 15 post *οἴνου* add. *λευκοῦ καὶ* M *ὀλιγοτρόφου* V *ἐνείη* pro *ᾗ* V 16 *ἐνείη* pro altero *ᾗ* MV 17 *ἐς ἰσχὺν* (-*ῦν* V) *ἄμφοιν· ὅμως τοίνυν* MV
18 *εἰ* om. M, *η* A^1, em. A^3 *καὶ* ante *διπλ.* om. A 19 *τις ἧσσον* A, *τις ἢ ὁκόσον* MV *μὲν* pro *μέλι* V *ἐκλίχοι* A^1M, em. A^3, *διεκλείχοι* V *πολλῷ* MV 20 *ἰσχυρότερός τε εἴη* V *μοῦνον, εἰ* MV *ταράσσοι* M, *ταράσσει* V 21 post *γὰρ* add. *ἂν* A

πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον, ἄγαν πλησμονῶδες ἂν εἴη καὶ φυσῶδες καὶ τοῖσι κατὰ ὑποχόνδριον σπλάγχνοις ἀσύμφορον· προπινόμενον μέντοι πρὸ ῥυφημάτων μελίκρητον οὐ βλάπτει ὡς μεταπινόμενον, ἀλλά τι καὶ ὠφελεῖ.

57. *Ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν πολλῷ κάλλιον τοῦ ὠμοῦ· λαμπρόν τε γὰρ καὶ λεπτὸν καὶ λευκὸν καὶ διαφανὲς γίνεται. ἀρετὴν δὲ ἥντινα αὐτῷ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ οὐκ ἔχω· οὐδὲ γὰρ*
348 *ἥδιόν ἐστιν τοῦ ὠμοῦ, ἢν τυγχάνῃ | γε καλὸν τὸ μέλι ἐόν· ἀσθενέστερον μέντοι τοῦ ὠμοῦ καὶ ἀκοπρωδέστερόν ἐστιν· ὧν οὐδετέρης τιμωρίης προσδεῖται μελίκρητον. ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, εἰ τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν καὶ ἀκάθαρτον καὶ μέλαν καὶ μὴ εὐῶδες· ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῶν κακοτήτων αὐτοῦ τὸ πλεῖον τοῦ αἴσχεος.*

16 L. 58. *Τὸ δὲ ὀξύμελι καλεύμενον ποτὸν πολλαχοῦ εὔχρηστον ἐν ταύτῃσι τῇσι νούσοισιν εὑρήσεις ἐόν· πτυάλου γὰρ ἀναγωγόν ἐστιν καὶ εὔπνοον. καιροὺς μέντοι τοιούσδε ἔχει· τὸ μὲν κάρτα ὀξὺ οὐδὲν ἂν*
350 *μέσον | ποιήσειεν πρὸς τὰ πτύαλα τὰ μὴ ῥηϊδίως*

1 *ἐπιπ(π)είνοι* A *δὲ* om. A 2 *ἂν εἴη καὶ φυσῶδες* om. A *τὰ ὑποχόνδρια* MV 3 *μὲν* pro *μέντοι* M *ῥοφήματος* MV 4 *ὅκως* pro *ὡς* MV *ἀλλὰ* sine *τι* V 7 *λαμπρὸν — ὠμοῦ* om. V *τε* ante *γὰρ* om. M 8 *δέ τινα* A *ἢ προσθεῖναι* i. m. A[3] 9 *οὐ γὰρ ῥηΐδιόν ἐστιν ἢν τυγχάνῃ* MV 10 *τυγχάνει* A *τε* pro *γε* V *τὸ μέλι καλὸν* MV 11 post *μέντοι* add. *γε* MV ante *ἀκοπρ.* add. *ἧσσον* A 12 *οὐδ' ἑτέρης τιμωρίας* A, *οὐδὲν ἕτερον ἐς τιμωρίην* M, *οὐδ' ἕ. ἐ. τ.* V ante *μελίκρ.* add. *τίς* V 13 *ἢν . . τυγχάνῃ* MV 15 *ἀφέλυτο* A[1], mut. A[3] in *ἀφέλειτο* *ἂν* om. A *ἕψ.* V 16 *αὐτοῦ καὶ τὸ πλεῖον* A, *αὐτέου τὰ πλείονα* V, *αὐτέων τὰ πλείονα* M 17 *περὶ ὀξυμέλιτος* in tit. M 18 ante *εὔχρ.* add. *μὲν* M 19 *καὶ γὰρ πτ.* MV *εὔϋπνον* A 20 *τοιούτους* A ante *κάρτα* add. *γὰρ* M 21 *μέζον* pro *μέσον* M

ἀνιόντα· εἰ γὰρ ἀναγάγοι μὲν τὰ ἐγκέρχνοντα καὶ ὄλισθον ἐμποιήσειεν καὶ ὥσπερ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειεν ἄν τι τὸν πνεύμονα· μαλθακτικὸν γάρ. καὶ εἰ μὲν ταῦτα συγκυρήσειε, μεγάλην ὠφελείην ἐμποιήσει. ἔστι δ' ὅτε τὸ κάρτα ὀξὺ οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυάλου, ἀλλὰ προσεγλίσχρηνε καὶ ἔβλαψε· μάλιστα δὲ τοῦτο πάσχουσιν οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι καὶ | ἀδύνατοι βήσσειν τε καὶ ἀπο- 352
χρέμπτεσθαι τὰ ἐνεχόμενα. ἐς μὲν οὖν τόδε προστεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ ἀνθρώπου καί, ἢν ἐλπίδα ἔχῃ, διδόναι· διδόναι δέ, ἢν διδῷς, ἀκροχλίαρον καὶ κατ' ὀλίγον τὸ τοιόνδε καὶ μὴ λάβρως.

59. Τὸ μέντοι ὀλίγον ὕποξυ ὑγραίνει μὲν στόμα καὶ φάρυγγα ἀναγωγόν τε πτυάλου ἐστὶ καὶ ἄδιψον· ὑποχονδρίῳ δὲ καὶ σπλάγχνοισιν τοῖσι ταύτῃ εὐμενές· καὶ τὰς ἀπὸ μέλιτος βλάβας κωλύει· τὸ γὰρ ἐν μέλιτι χολῶδες κολάζεται. ἔστι δὲ καὶ φυσέων καταρρηκτικὸν καὶ ἐς οὔρησιν προτρεπτικόν· ἐντέρου μέντοι τῷ κάτω μέρει πλαδαρώ|τερον καὶ ξύσματα ἐμποιεῖ· ἔστι δ' ὅτε 354
καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσιν τῶν νούσων γίνεται, μάλιστα μὲν ὅτι φύσας κωλύει περαιοῦσθαι, ἀλλὰ παλινδρομεῖν ποιεῖ. ἔτι δὲ καὶ ἄλλως γυιοῖ καὶ

1 ἀνάγοι MV ἐγκάρχνον M, ἐγκέρχοντα A 2 ὡσπερεὶ MV διαπτερώσιες A, ἢ διαπτερώσοι ἐς τὸν (τὴν?) i. m. man. rec. 3 παρηγορῆσαι MV τι om. M 4 post γάρ add. αὐτέου MV ἂν ὠφ. ποιήσειεν MV 6 post προσεγλίσχρηνε unius litt. ras. A, τε add. MV 10 κἢν MV 11 διδοῖς A ἀκροχλίαιρον M 12 καὶ ante κατ' om. MV 13 ἔποξυ MV τὸ στ. codd., art. del. Rhd. σῶμα pro στόμα M 14 δὲ pro τε MV 15 σπλάγχνοισι καὶ τῇσι ταύτηι M, σπλάγχνοισι καὶ τοῖσι ταῦτ' ᾖ V 16 post βλάβας add. ταύτη(ι M) MV 17 φύσεων V 18 τὸ A[1], em. A[3] 19 ἔστιν ὅτε A 20 καὶ om. V ὀξείῃσι νούσοισι sine γίνεται MV 21 φῦσαν MV 22 γυοῖ MV

ἀκρωτήρια ψύχει· ταύτην καὶ οἶδα μούνην τὴν βλάβην δι' ὀξυμέλιτος γινομένην, ἥτις ἀξίη γραφῆς.

60. *Ὀλίγον δὲ τὸ τοιόνδε ποτὸν νυκτὸς μὲν καὶ νήστει πρὸ ῥυφήματος ἐπιτήδειον προπίνεσθαι· ἀτὰρ καὶ ὅταν πολὺ μετὰ ῥύφημα ᾖ, οὐδὲν κωλύει πίνειν. τοῖσι δὲ ποτῷ μοῦνον διαιτωμένοισιν ἄνευ ῥυφημάτων διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν αἰεὶ μοῦνον χρῆσθαι |*
356 *τούτῳ· μάλιστα μὲν διὰ ξύσιν καὶ τρηχυσμὸν τοῦ ἐντέρου· ἀκόπρῳ γὰρ ἐόντι μᾶλλον ἐμποιοίη ἂν ταῦτα κενεαγγίης παρεούσης· ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτ' ἄν. ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν σύμπασαν νοῦσον πολλῷ ποτῷ τούτῳ χρῆσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχεῖν, ὅσον μοῦνον γινώσκεσθαι· οὕτω γὰρ καὶ ἃ φιλεῖ βλάπτειν, ἥκιστα ἂν βλάπτοι, καὶ ἃ δεῖται ὠφελείης, προσωφελοίη ἄν.*

358 61. *Ἐν κεφαλαίῳ δὲ | εἰρῆσθαι, αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοισι μᾶλλον ἢ μελαγχολικοῖσι συμφέρουσι· τὰ μὲν γὰρ πικρὰ διαλύεται καὶ ἐκφλεγματοῦται μετεωριζόμενα ὑπ' αὐτοῦ· τὰ δὲ μέλανα ζυμοῦται καὶ μετεωρίζεται καὶ πολλαπλασιοῦται· ἀναγωγὸν γὰρ μελάνων ὄξος. γυναιξὶ δὲ τὸ ἐπίπαν πολεμιώτερον ἢ ἀνδράσιν ὄξος· ὑστεραλγὲς γάρ ἐστιν.*

17 L. 62. *Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅ τι προσθέω· οὔτε*

1 *τὴν βλ. καὶ ὀξύμελι γιν.* A, *βλ.* (art. om.) *δι' ὀξύμελι γ.* V, *δι' ὀξύμελι γιγν. βλ.* M, *μούν. βλ. τὴν δι' ὀξ.* Gal. 2 ante *ἀξίη* add. *καὶ* MV 5 *μεταρρόφημα* A, prius *ρ* add. A[3] *ἢ* pro *ᾗ* V 7 *διὰ παντὸς* pro *μοῦνον* MV 8 *ἢ* pro *καὶ* MV *τρυχισμὸν* V 9 *ἐμπνοίη* A, *ἐμπνοίη* M, *ἐμποιῇ* V 11 *φαίνοιτο* MV 13 *παρέχειν* A 14 *ἂν* post *γὰρ* MV 15 *ἂν* om. MV *βλάπτοιτο* MV *προσωφελέειν* pro *ὠφελίης* MV *προσωφελοίει* A 16 *εἰρεῖσθαι ἀπὸ ὄξους πικρότητες* A 20 *μερίζεται* A 21 *δ' ἂν* pro *δὲ* A *πολεμιώτατον* M 23 *περὶ ὕδατος* in tit. MV 24 *ἔργων* A

γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι περιπνευμονικοῖσιν οὔτε πτυάλου ἀναγωγόν, ἀλλ' ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ποτῷ ὕδατι χρέοιτο. μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιρρυφεόμενον ὀλίγον πτυάλου ἀναγωγόν ἐστι διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν· πλημμυρίδα γάρ τινα ἐμποιεῖ. ἄλλως δὲ οὐδὲ δίψαν παύει, ἀλλ' ἐπιπικραίνει· χολῶδες γὰρ φύσει χολώδει καὶ ὑποχονδρίῳ κακόν. κάκιστον | δ' ἑωυ- 360
τοῦ καὶ χολωδέστατον καὶ φιλαδυναμώτατον, ὅταν ἐς κενεότητα ἐσέλθῃ. καὶ σπληνὸς δὲ αὐξητικὸν καὶ ἥπατός ἐστιν, ὁπόταν πεπυρωμένον ᾖ, καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικόν· βραδύπορον γὰρ διὰ τὸ ὑπόψυχρον εἶναι καὶ ἄπεπτον, καὶ οὔτε διαχωρητικὸν οὔτε διουρητικόν. προσβλάπτει δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύσει. ἢν δὲ δὴ καὶ ποδῶν ποτε ψυχρῶν ἐόντων ποθῇ, πάντα ταῦτα πολλαπλασίως βλάπτει, ἐς ὅ τι ἂν αὐτῶν ὁρμήσῃ.

63. *Ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισι καρηβαρίην ἰσχυρὴν ἢ φρενῶν ἅψιν παντάπασιν οἴνου ἀποσχετέον. ὕδατι δ' ἐν τῷ τοιῷδε χρηστέον ἢ ὑδαρέα καὶ κιρρὸν οἶνον παντελῶς δοτέον καὶ ἄνοδμον | παν-* 362

1 *βῆχος* MV 3 *η* A[1], mut. A[3] in *εἰ* *διαπαντὸς* AMV *ὕδατι ποτῷ χρ.* M, *ὕδ. χρ. ποτῷ* V *μέση υμέντοι*, *η* mut. in *ο*, A, *μεσσηγὺ* M 5 *παι//ότητος* et i. m. *γρ καὶ ποιότητος* M 6 *πλημυρίδα* A 7 *τε* pro *δὲ* MV *οὐδὲ* R' S' Gal. i. t., *οὔτε* MV, om. A *δὲ* pro *γὰρ* A 8 *φύσει* om. A *καὶ κάκιστον ἑωυτοῦ* codd., *κακ. δ' ἑ.* Gal. XVIII, 2 p. 608 9 *χολοειδέστατον* MV *καὶ φιλαδ. — κενεότ.* om. A 10 *κενεώτατον* pro *κενεότητα* MV *ἐς ἔλθῃ* A 11 *ει* A[1] mut. A[3] in *ᾖ* *δὲ* pro *τε* A 12 *ἐπιπολλ.* V *τε* post *βραδύπ.* add. MV *ὑποψ. καὶ ἄπ. εἶναι* MV 14 *δ' ἔτι* pro *δέ τι* Cor. l. l. p. 103, Rhd. 15 *δεῖ* pro *δὴ* M *ποτῶν* pro *ποδῶν* V *ψυχρῶν ποτε* MV 17 *ὁρμήσει* A 19 *ἢ* ante *καρηβ.* add. MV *οἶνον* V 20 *δὲ ἐν* MV 21 *λευκὸν* pro *κιρρὸν οἶνον* MV *ἄνοσμον* A, *ἄοσμον* MV

τάπασι καὶ μετὰ τὴν πόσιν αὐτοῦ ὕδωρ μεταποτέον ὀλίγον· ἧσσον γὰρ ἂν οὕτω τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο κεφαλῆς καὶ γνώμης. ἐν οἷσι δὲ μάλιστα αὐτῷ ὕδατι ποτῷ χρηστέον καὶ ὁπότε πολλῷ κάρτα καὶ ὅπου μετρίῳ, καὶ ὅπου θερμῷ καὶ ὅπου ψυχρῷ, τὰ μέν που πρόσθεν εἴρηται, τὰ δ' ἐν αὐτοῖσι τοῖσι καιροῖσι ῥηθήσεται.

64. *Κατὰ ταῦτα δὲ καὶ περὶ τῶν ἄλλων ποτῶν, οἷον κρίθινον καὶ τὰ ἀπὸ χλοιῆς ποιεύμενα καὶ τὰ*
364 *ἀπὸ σταφίδος καὶ στεμφύλων καὶ πυρῶν καὶ κνήκου καὶ μύρτων καὶ ῥοιῆς καὶ τῶν ἄλλων, ὅταν τινὸς αὐτῶν καιρὸς ᾖ χρῆσθαι, γεγράψεται παρ' αὐτῷ τῷ νοσήματι ὅπωσπερ καὶ τἄλλα τῶν συνθέτων φαρμάκων.*

18 L. 65. *Λουτρὸν δὲ συχνοῖσι τῶν νοσεύντων ἀρήγοι ἂν χρεωμένοισιν ἐς τὰ μὲν συνεχέως, ἐς τὰ δ' οὔ. ἔστι δ' ὅτε ἧσσον χρηστέον διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων· ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα καὶ οἱ θεραπεύοντες ὡς δεῖ. εἰ δὲ μὴ παγκάλως λούοιτο, βλάπτοιτο ἂν οὐ σμικρά· καὶ γὰρ σκέπης ἀκάπνου δεῖ καὶ ὕδατος δαψιλέος καὶ τοῦ λουτροῦ συχνοῦ καὶ μὴ λίην λάβρου, ἢν μὴ οὕτω δέῃ. καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι· ἢν δὲ σμήχηται, θερμῷ*

2 *οὕτω γὰρ ἂν ἧσσον* MV 3 *τῆς κεφ.* MV *ἔνοισι* A, mut. in *ἐνίοισι* A[3] *ποτῷ ὕδ.* V 5 *ψυχρῷ καὶ ὅκου θερμῷ* MV 6 *εἰρέαται* MV *τοῖσι τοῖσι καιρ.*, alterum *τοῖσι* expunctum, A *δὲ ἐν* MV 8 *κατὰ ταῦτα δὲ καὶ* om., *δὲ* post *περὶ* add. MV 9 *τὸ* ante *κρίθ.* add MV *κρίθιον* A *χλόης* A
10 *κνίκου* V 11 ante *ῥοιῆς* add. *ἀπὸ* MV *ὅτι ἂν* A, *ὅτε οὖν ἂν* MV 13 *ὅκως τε* pro *ὅπωσπερ* MV *τὰ ἄλλα* MV, *ἄλλο* A *ξυνθέντων*, med. *ν* expunct., A 14 *περὶ λουτρῶν* A, *περὶ λουτροῦ* MV in tit. *νοσεύντων* scripsi pro codd. *νοσημάτων*, cf. p. 156, 21 16 *οὖν* pro *οὔ* A *διά τινα παρασκ.* A
18 *θεραπεύσαντες* A, *θεραπέοντες* V 19 *βλάπτοι* MV *μισκρά* A 21 *λίην* om., i. m. *σφόδρα* A *ἤν γε μὴ* MV

χρῆσθαι αὐτῷ καὶ πολλαπλασίῳ ἢ ὡς | νομίζεται 366
σμήγματι, καὶ προσκαταχεῖσθαι μὴ ὀλίγῳ, καὶ ταχέως μετακαταχεῖσθαι. δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς τὴν πύαλον, καὶ ἐς εὐέμβατόν τε καὶ εὐέκβατον· εἶναι δὲ καὶ τὸν λουόμενον κόσμιον καὶ σιγηλὸν καὶ μηδὲν αὐτὸν προσεργάζεσθαι, ἀλλ' ἄλλους καὶ καταχεῖν καὶ σμήχειν· καὶ μετακέρασμα πολλὸν ἡτοιμάσθαι καὶ τὰς ἐπαντλήσιας ταχείας ποιεῖσθαι· καὶ σπόγγοισι χρῆσθαι ἀντὶ στεγγίδος, καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα. κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ ὡς οἷόν τε μάλιστα ὑπὸ σπόγγου ἐκμασσομένην· καὶ μὴ διαψύχεσθαι τὰ
ἄκρα μηδὲ τὴν | κεφαλὴν μηδὲ τὸ ἄλλο σῶμα· καὶ μήτε 368
νεορρύφητον μήτε νεόποτον λούεσθαι μηδὲ ῥυφεῖν μηδὲ πίνειν ταχὺ μετὰ τὸ λουτρόν.

66. *Μέγα μὲν δὴ μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων ᾖ φιλόλουτρος ἄγαν καὶ εἰθισμένος λούεσθαι· καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοίδε καὶ ὠφελέονται λουσάμενοι καὶ βλάπτονται μὴ λουσάμενοι. ἁρμόζει δ' ἐν περιπνευμονίῃσι μᾶλλον ἢ ἐν καύσοισι τὸ ἐπίπαν· καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρῶν καὶ στήθεος καὶ μεταφρένου παρηγορικόν ἐστιν λουτρὸν καὶ πτυάλου πεπαντικὸν καὶ ἀναγωγὸν καὶ εὔπνοον*

1 πολλαπλασίως A 2 πρὸς καταχέασθαι sine καὶ A 3 ἔστιν pro ἐς τὴν A em. 4 πύελον M, πτύελ. V εὐέκβατ. κ' ἐς εὐέκβ. M, εὐέκβ. καὶ ἐς εὐέμβ. V, καὶ ἐς εὐεκβ. om. A, ἐς alt. om. Gal. comm. τε καὶ ibid. 6 προσεξεργ. MV ἀλλὰ λοῦσθαι καὶ κατέχειν (em. A^2 in καταχεῖν) καὶ κατασμήχειν A ἀλλὰ MV 7 μετὰ κέρ. A πολλὸν A^1, mut. A^2 in πολὺ 9 στλεγγ. A, λ ins. A^2 χρήεσθαι A, χρέεσθαι M pro χρίεσθαι 10 ἀναξηρ. A

12 ἄκραια M, ἄκρεα V μήτε τὴν κεφ. μήτε MV 13 μήτε ῥυφ. μήτε π. A, μὴ δὲ ῥ. μήτε π. V 14 τὸ ss. M^1 post λουτρὸν add. αὐτίκα MV 16 post ᾖ add. ἢ MV 20 τὸ ἐπίπαν i. m. V πλευρὸν A, πλευρὴν MV 21 ante λουτρὸν add. τὸ MV 22 ἀνάγωγον codd.

καὶ ἄκοπον· μαλθακτικὸν γὰρ καὶ ἄρθρων καὶ τοῦ ἐπιπολαίου δέρματος· καὶ οὐρητικὸν δὲ καὶ καρηβαρίην λύει καὶ ῥῖνας ὑγραίνει.

67. Ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστιν, ὧν πάντων δεῖ. εἰ μέντοι τῆς παρασκευῆς ἔνδειά τις ἔσται
370 ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτε|λεῖν τὸ λουτρόν, ἀλλὰ μᾶλλον βλάπτειν· ἓν γὰρ ἕκαστον αὐτῶν μεγάλην φέρει ·βλάβην μὴ προπαρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν ὡς δεῖ. ἥκιστα δὲ λούειν καιρὸς τούτους, οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν· ἀτὰρ οὐδ' οἷσιν ἕστηκε μᾶλλον τοῦ καιροῦ καὶ μὴ προδιελήλυθεν. οὐδὲ δὴ τοὺς γεγυιωμένους χρὴ λούειν οὐδὲ τοὺς ἀσώδεας ἢ ἐμετικοὺς οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες οὐδὲ τοὺς αἱμορραγέοντας ἐκ ῥινῶν, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι· τοὺς δὲ καιροὺς οἶδας. εἰ δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν, ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον.

68. Ἢν οὖν αἵ τε παρασκευαὶ ἔωσιν ἐπιτήδειοι καὶ ὁ κάμνων μέλλῃ δέξασθαι τὸ λουτρόν, λούειν χρὴ
372 ἑκάστης ἡμέρης· τοὺς δὲ φιλολουτρέοντας, | οὐδ' εἰ δὶς τῆς ἡμέρης λούοις, οὐδὲν ἂν βλάπτοις. χρῆσθαι δὲ λουτροῖσι τοῖσι οὔλῃσι πτισάνῃσι χρεωμένοισι παρὰ πολὺ μᾶλλον ἐνδέχεται, ἢ τοῖσι χυλῷ μοῦνον χρεω-

3 ῥίνας A 5 εἰ mut. in ἢ A ἐστι pro ἔσται M 8 πρὸ παρασκ. A, προ om. MV 9 τούτοισιν pro τούτους οἷσιν MV 11 οὐδὲ MV ἕστηκε A, ἑστήκει MV 12 προεληλύθη M, προεληλύθει V γεγυωμ. MV 13 δὴ ante τοὺς ἀσώδ. add. MV ἐπαναρευομένους A 14 αἱμορραγέντας A 16 ἢν . . . ῥέῃ MV 17 τὴν ante κεφ. om. MV κεφαλὴ M, κεφαλῇ V 18 τε ante παρασκ. om. MV ἐῶσιν A 19 post μέλλῃ add. εὖ MV 21 λούῃς A, λούεις V οὐκ pro οὐδὲν MV ἁμάρτοις pro βλάπτοις M 22 τοῖσιν . . . χρεωμένοισι om. MV

μένοισιν· ἐνδέχεται δὲ καὶ τούτοισιν ἐνίοτε· ἥκιστα δὲ [καὶ] τοῖσι ποτῷ μοῦνον χρεωμένοις· ἔστι δ' οἷσι καὶ τούτων ἐνδέχεται. τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν, οὕς τε μέλλει λουτρὸν ὠφελεῖν ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης οὕς τε μή· οἷσι μὲν γὰρ προσδεῖ[ται] | τινος κάρτα τούτων, ὅσα λουτρὸν ἀγαθὰ 374
ποιεῖ, λούειν καθ' ὅσα ἂν λουτρῷ ὠφελῆται· οἷσι δὲ τούτων μηδενὸς προσδεῖ καὶ πρόσεστιν αὐτοῖσί τι τῶν σημείων, ἐφ' οἷς λούεσθαι οὐ συμφέρει, οὐ δεῖ λούειν.

2 *καὶ* del. Erm. *δὲ καὶ οἷσι τούτ.* MV 3 *δεῖ* pro *χρὴ* V 5 *προσδεῖταί* A, *προσδέεταί* MV, scripsi *προσδεῖ* 7 scripsi *καθ'*, libri *καὶ* *ὅσ' ἂν* A *ὠφελέειται* A 8 *αὐτέοισι* MV, *αὐτοῖσιν* A, ultima littera minus clara, unde dedi *τι* 9 *οὐ* ante *συμφ.* om. MV *οὐ* ante *δεῖ* om. MV

II 394 L.

ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ (ΝΟΘΑ).

1. *Καῦσος γίνεται, ὁπόταν ἀναξηρανθέντα τὰ φλέβια ἐν θερινῇ ὥρῃ ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐφ᾽ ἑωυτά· καὶ πυρετὸς πολὺς ἴσχει, τό τε σῶμα ὡς ὑπὸ κόπου ἐχόμενον κοπιᾷ καὶ ἀλγεῖ. γίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐκ πορείης μακρῆς καὶ δίψεος μακροῦ, ὁπόταν ἀναξηρανθέντα τὰ φλέβια δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται. γίνεται δ᾽ ἡ γλῶσσα τρηχεῖα καὶ ξηρὴ καὶ μέλαινα, καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγεῖ, τά τε ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίνεται, καὶ δίψαι σφοδραὶ ἔνεισι,* 396 *καὶ ἀγρυπνίη, ἐνίοτε δὲ καὶ | παραλλάξιες φρενῶν. τῷ τοιῷδε πίνειν μὲν ὕδωρ τε καὶ μελίκρητον δίδου ἑφθὸν ὑδαρές, ὁπόσον ἐθέλει. καὶ ἢν πικρὸν τὸ στόμα γίνηται, ἐμεῖν συμφέρει καὶ τὴν κοιλίην ὑποκλύσαι· ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, γάλακτι ὄνου ἀφεψήσας κάθαιρε. ἁλμυρὸν δὲ μηδὲν μηδὲ δριμὺ προσφέρειν,*

1 *τὰ προσγεγραμμένα τῶν περὶ πτισάνης νόθα* A, *ἀρχὴ τῶν νόθων* (*ἰα* add. M) *περὶ καύσου* MV 2 *καῦσος δὲ* MV 3 *φλεβία* A (ex emend.) V, *φλέβι* M 4 *ἐς* pro *ἐφ᾽* MV 5 *ὥσπερ* MV *ὑπὸ ὀστεοκόπου* MV *ἀλγέῃ* V 7 *ὁπότ᾽* sine *ἂν* A 8 *δὲ* M 9 post *μέλαινα* add. *κάρτα* MV *τὰ* ante *περὶ* om. MV 10 *ἀλγέῃ* V 11 *γίνονται* M, *γίνωνται* V 12 *ἀγρυπνίαι* MV 13 *μὲν* om. MV 13. 14 *ἑφθὸν δίδου* MV *κἢν* MV ubique pro *καὶ ἢν* 16 *γαλακτίνου* A, *γάλα ὄνου* MV *ἑ*(*ἐ* V)*ψήσας* MV 17 *κάθαιρε* (*αι* ss.) A[1] *μὴ δὲν* A, *μηδὲν* om. MV *μὴ δὲ* V *προσφέρει*, *ν* ss., A

οὐ γὰρ ὑποίσει· ῥύφημα δέ, ἔστ' ἂν ἔξω τῶν κρίσεων γίνηται, μὴ δίδου. καὶ ἢν αἷμα ἐκ τῆς ῥινὸς ῥυῇ, λύεται τὸ πάθος, καὶ ἢν ἱδρῶτες ἐπιγένωνται κριτικοὶ γνήσιοι μετ' οὔρων παχέων, λευκῶν καὶ λείων ὑφισταμένων, καὶ ἢν ἀπόστημά που γένηται. ἢν δ' ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλιν ἔσται ἀρρωστίης ἢ ἰσχίου ἢ σκελέων ἄλγημα συμβήσεται· καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι.

2. Καύσου γένος ἄλλο. κοιλίη ὑπάγουσα δίψεος μεστή, γλῶσσα τρηχεῖα, ξηρή, ἁλυκώδης, οὔρων ἀπό- 398
ληψις, ἀγρυπνίη, ἀκρωτήρια ἐψυγμένα. τῷ τοιούτῳ ἢν 11
μὴ αἷμα ἐκ ῥινὸς ῥυῇ ἢ ἀπόστημα περὶ τράχηλον γένηται ἢ σκελέων ἄλγημα ἢ ἰσχίων ὀδύνη ἢ αἰδοίου πελίωμα — ταῦτα δὲ συστάσης τῆς κοιλίης γίνεται — καὶ πτύσματα παχέα πτύσῃ, οὐ κρίνεται· καὶ ὄρχις ἐνταθεὶς κριτικόν. ῥυφήματα ἐπισπαστικὰ δίδου.

2. L. 3. Τὰ ὀξέα πάθεα φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ καὶ ῥώμῃ. ἢν μὲν οὖν σύναγχος ᾖ, ἐκλεικτῷ ἀνακάθαιρε, ἢν δὲ ἄλλο τι, τῷ πλευριτικῷ· ἢν δὲ ἀσθενέστεροι φαίνωνται ἢ καὶ πλέον τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ κατὰ κοιλίην χρῆσθαι διὰ τρίτης ἡμέρης.

1 ῥοφήματα MV κρισίμων γένηται MV 2 τῶν ῥινῶν MV ἐπιγεννῶνται A 4 οὔρ. λευκῶν καὶ παχέων MV 6 ante ἀρρωστ. add. τῆς MV 7 ἰσχίων MV πτύσεται A, η supra ε A[2] 9 Κ. γ. ἄ. i. m. sup. M δίψης MV 10 ἀπόλειψις V 11 ἀγωνίη pro ἀγρυπνίη A 13 ἢ ἰσχίων — δίδου transposui, libri exhibent: καὶ πτύσματα π. πτ.· ταῦτα δὲ συστ. τ. κοιλ. γ.· ἢ ἰσχίων (ἰσχίου MV) ὀδ. ἢ αἰδοίου (-ων A) πελ. οὐ κρ., καὶ ὄρχις ἐντ. κρ., ῥυφ. ἐπισπαστικὰ (ἐπὶ σπασματικὰ A, ἐπιστατικὰ MV) δίδου 17 περὶ θεραπείας ὀξέων παθέων i. t. A ante ὀξέα add. δὲ M, δ' V τῶν νοσημάτων pro πάθεα V 19 ῥώμῃ παρῇ αὐτέοισιν MV ante ἐκλ. add. καὶ MV ἐκλίκτοισιν MV 21 ἢν καὶ πλείω MV 22 κάτω A

ἕως ἂν ἐν ἀσφαλείῃ γένηται ὁ νοσέων καὶ χυλοῦ χρήζῃ.

400 3. L. 4. *Φλεγμαίνοντα ὑποχόνδρια ἐπὶ πνευμάτων ἀπολήψει, φρενῶν ἐντάσιες, πνευμάτων προστάσιες ὀρθοπνοίης ξηρῆς, οἷσι μὴ πῦον ὕπεστιν, ἀλλὰ ὑπὸ πνευμάτων ἀπολήψιος τὰ πάθεα ταῦτα ὑπογίνεται, καὶ ἥπατος περιωδυνίαι καὶ σπληνὸς βάρεα καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιωδυνίαι καὶ συστροφαὶ νοσημάτων οὐ δύνανται λύεσθαι, ἥν τις πρῶτον ἐπιχειρῇ φαρμακεύειν· ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονικόν ἐστιν· ἔπειτα δὲ ἐπὶ κλυσμόν, ἢν*
402 *μὴ μέγα καὶ ἰσχυρὸν* | *τὸ νόσημα ᾖ, εἰ δὲ μὴ καὶ ὕστερον φαρμακείης δεῖ. δεῖται δὲ ἀσφαλείης καὶ μετριότητος μετὰ φλεβοτομίην φαρμακείη.*

5. *Ὁπόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων ἐπιχειρέουσιν λύειν φαρμακείῃ, τοῦ μὲν συντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν — οὐ γὰρ διαδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος —, τὰ δ' ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιεινὰ συντήκουσιν. ἀσθενέος δὲ τοῦ σώματος γινομένου τὸ νόσημα ἐπικρατεῖ· ὅταν δὲ τὸ νόσημα ἐπικρατήσῃ τοῦ σώματος, τὸ τοιόνδε ἀνιήτως ἔχει.*

4. L. 6. *Τὸ δὲ ἄφωνον ἐξαίφνης γενέσθαι, φλεβῶν*

1 *γένοιτο* MV *λειμῶ εἰ χρήζοι* A, *λιμοῦ χρ.* MV, *χυλοῦ χρήζῃ* Rhd., cf. § 9 extr. 3 *μὴ* pro *ἐπὶ* libri, em. Rhd. 4 *ἀπολείψει* V *ἐνστάσηες* V ante *πνευμ.* add. *ἢ* MV 5 *ὕπεισιν* MV *ὑπὸ* om. MV 6 *ἀπολήψιες* M, *ἀπολείψηες* corr. ex *ἀπολείψειες* V *πάθη* A, *παθήματα* MV ante *καὶ ἥπ.* add. *μάλιστα δὲ* MV 7 *περιοδύνη ᾗ* A, *περιωδυνίη* MV *βάρει* A 8 post *περιωδ.* add. *τε* libri praeter D 9 ante *οὐ* add. *ἃ* A 13 *φαρμακείη* sine *δεῖ* MV 14 *μετὰ φαρμακείης φλεβοτομίηι* A, *μ. φαρμακείην φλεβοτομίη* V 16 ante *ἐπιχειρ.* add. *εὐθέως* MV *συντεταγμένου* A 18 *διαδοῖ* A

ἀπολήψιες λυπέουσιν, ἢν ὑγιαίνοντι τόδε συμβῇ ἄνευ 404
προφάσιος ἢ ἄλλης αἰτίης ἰσχυρῆς. φλεβοτομεῖν οὖν
τὸν βραχίονα τὸν δεξιὸν τὴν ἔσω φλέβα καὶ ἀφαιρεῖν
τοῦ αἵματος κατὰ τὴν ἕξιν καὶ τὴν ἡλικίην διαλογι-
ζόμενον τὸ πλεῖον καὶ τὸ ἔλασσον. συμπίπτει δὲ τοῖσι
πλείστοισι τοιάδε· ἐρυθήματα προσώπου, ὀμμάτων
στάσιες, διαστάσιες χειρῶν, τρισμοὶ ὀδόντων, σφυγμοί,
σιηγόνων συναγωγή, [καὶ] κατάψυξις ἀκρωτηρίων.

5. L. 7. *Πνευμάτων ἀπολήψιες ἀνὰ φλέβας.* ὁπό-
ταν ἀλγήματα προσγένηται, μελαίνης χολῆς | καὶ δριμέων 406
ῥευμάτων ἐπιρρύσιες γίνονται· ἀλγεῖ δὲ τὰ ἐντὸς δακνό-
μενος· δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ
φλέβες ἐντείνονταί τε καὶ φλεγμαίνουσαι ἐπισπῶνται
τὰ ἐπιρρέοντα· ὅθεν διαφθαρέντος τοῦ αἵματος καὶ
τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν
ὁδοὺς βαδίζειν καταψύξιές τε γίνονται ὑπὸ τῆς στά-
σιος καὶ σκοτώσιες καὶ ἀφωνίη καὶ καρηβαρίη ἢ καὶ
σπασμοί, ἢν ἤδη ἐπὶ τὴν καρδίην ἢ τὸ ἧπαρ ἢ ἐπὶ
τὴν φλέβα ἔλθῃ· ἔνθεν ἐπίληπτοι γίνονται ἢ παρα-
πλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ
ῥεύματα καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξ-
ιέναι καταξηρανθῇ.

8. *Ἀλλὰ χρὴ τοὺς* | τοιούτους προπυριῶντα φλεβο- 408
τομεῖν ἐν ἀρχῇ εὐθέως μετεώρων ἐόντων πάντων τῶν

2 post οὖν add. χρὴ M, δεῖ V 4 διαλογιζόμενος AM 6 post πλείστοισι add. αὐτέων MV 6. 7 et ante ὀμμ. et ante διαστ. add. καὶ AMV, om. vulg. 8 καταψύξεις A καὶ ante καταψ. uncis inclusi 11 γίνωνται M ἀλγεῖται A 12 δὴ καὶ pro δὲ καὶ MV γινόμεναι A ξηραινόμεναι pro ξ. γ. V 13 φλεγμαίνονται καὶ ἐπισπ. A 14 ἐπιρρυέντα MV 15 ἑαυτῷ pro αὐτῷ A 16 //τάσιος A 17 ἀφωνίη (α ss.) φωνίη ss. A[3] ἢ om. MV 19 ὅθεν pro ἔνθεν A παρὰ πληξίῃ A 23 προπυριῶντας MV 24 ἀρχῇσι MV

λυπεόντων ῥευμάτων· εὐβοηθητότερα γάρ ἐστιν· καὶ ἀναλαμβάνοντα καὶ τὰς κρίσιας ἐπιθεωρέοντα φαρμακεύειν, ἢν μὴ κουφίζηται, ἄνω· τὴν δὲ κάτω κοιλίην, ἢν μὴ ὑποχωρῇ κλυσμῷ, ὄνου γάλα ἑφθὸν δίδου, καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτυλῶν· ἢν δὲ ῥώμη περιέχῃ, πλείω [ἑκκαίδεκα].

6. L. 9. *Σύναγχος δὲ γίνεται, ὁπόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πολὺ καὶ κολλῶδες ὥρην χειμερινὴν ἢ ἐαρινὴν ἐς τὰς σφαγίτιδας φλέβας ἐπιρρυῇ, καὶ τὸ*
410 *ῥεῦμα πλέον | διὰ τὴν εὐρύτητα ἐπισπάσωνται. ὅταν*
11 *δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδες ἐμφράξῃ τοῦ τε πνεύματος τὰς διεξόδους καὶ τοῦ αἵματος ἀποφράσσον, πήγνυσι τὰ σύνεγγυς τοῦ αἵματος καὶ ἀκίνητον καὶ στάσιμον ποιεῖ φύσει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν. διὰ τοῦτο πνίγονται τῆς γλώσσης ἀποπελιουμένης καὶ στρογγυλουμένης καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν· τῆς γὰρ ὑποτεινομένης σταφυλῆς [, οἵ δὲ κιονίδα καλεῦσιν,] ἑκατέρωθεν φλὲψ παχεῖα.*
412 *ὁπόταν οὖν | πλήρεες αὗται ἐοῦσαι ἐς τὴν γλῶσσαν ἐναποστηρίζωνται ἀραιὴν ἐοῦσαν καὶ σπογγώδεα, διὰ τὴν ξηρασίην ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν ἐκ πλατείης μὲν στρογγύλη γίνεται, ἐξ εὐχρόου δὲ πελιδνή, ἐκ μαλθακῆς δὲ σκληρή, ἐξ εὐκάμπτου δὲ*

1 *πνευμάτων* A, *πνευμάτων καὶ ῥευμάτων* caet. codd. *εὐβοηθότερα* MV 3 *κουφίζῃ* A 4 *ἢν* post *κοιλίην* ss. A et supra lin. add. *ὧν* (*οὖν*?) A 5 *κοτύλων* MV 6 *πλεῖον* V *ἑκκαίδεκα* A, *ἑξκ.* MV uncis inclusi 8 *χειμερίην* V *ἢ ἐαρ.* om. A 9 *εἰαρ.* V *ἀπορρυῇ* V 10 *πνεῦμα* MV 11 *ἐμφράξῃ τε τοῦ* (*τοῦ* add. A³) *πν.* A 13 *πηγνύειται* A, mut. A⁵ in *πηγνύει τε* 15 *ἀποτεινουμένης* pro *ἀποπελ.* A ex em. 16 *στρογγυλομ.* M 17 *ὑποτεμνομένης* MV, *ἀποταμν.* A, *ὑποτειν.* Rhd. 18 *οἵ δὲ κιονίδα καλ.* del. Rhd. 20 *ἐναποστηρίξωνται* A *διά τε τὴν* MV 21 ante *ὑπὸ* add. *ἡ δ'* MV 22 *ὑγρὸν* om. MV

ἄκαμπτος· ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ταχέως βοηθῇ φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας ὑποτάμνων καὶ φαρμακεύων τοῖσιν ἐκλεικτοῖσι καὶ ἀναγαργαρίζων θερμοῖσι καὶ κεφαλὴν ξυρῶν. καὶ κήρωμα τραχήλῳ περιτιθέναι καὶ εἰρίοισι περιελίσσειν καὶ σπόγγοισι μαλθακοῖσιν ἐν ὕδατι θερμῷ ἐκπιεξεῦντα πυριῆν. πίνειν δὲ ὕδωρ
καὶ μελίκρητον μὴ ψυχρά· | χυλὸν δὲ προσφέρειν, ὁπό- 414
ταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ.

10. Ὅταν ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταρρυῇ καὶ νιτρῶδες ᾖ, ἅτε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον, δάκνει τοιόνδε ἐὸν καὶ ἑλκοῖ καὶ πνεύματος ἐμπίπλησι, καὶ ὀρθόπνοια παραγίνεται καὶ ξηρασίη πολλή, καὶ τὰ ὁρώμενα ἰσχνὰ φαίνεται, καὶ τοὺς ὄπισθεν τένοντας τοὺς ἐν τῷ τραχήλῳ συντείνεται, καὶ δοκεῖ οἱ τέτανος ἐντετάσθαι, καὶ ἡ φωνὴ ἀπέρρωγε καὶ τὸ πνεῦμα
σμικρὸν καὶ ἡ ἀντίσπασις τοῦ | πνεύματος πυκνὴ καὶ 416
βιαίη παραγίνεται. οἱ τοιοίδε τὴν ἀρτηρίην ἑλκοῦνται καὶ τὸν πνεύμονα πίμπρανται οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι. τοῖσι τοιούτοισι δὲ ἢν μὴ ἐς

1 ὀξέως pro ταχέως MV 2 φλεβοτομέειν MV 4 ἐλλικτοῖσιν A, ἐνλικτοῖσιν M, ἐνλίκτοισι V 5 ὑποξυρῶν MV post κήρωμα add. κεφαλῇ καὶ MV 7 καὶ pro ἐν MV τε pro δὲ MV 9 ἀσφαλεῖ V 10 ἄλλο εἶδος κυνάγχου (συνάγχου A) AMV in tit. μεθωπ. A, μεθοπ. MV 11 ᾖ om. MV 12 post δάκνει add. δὲ τὸ MV 13 ἐμπίπλησι, ss. ead. man., A 15 ὁρώμενα A[1] (mut. alia man. in οὐρούμενα) Gal. in comm. XV 792 sqq. ed. Kuehn, θεωρεύμενα MV ὄπισθε M 16 τοὺς post τένοντας om. AMV, add. Rhd. ex Par. K οἱ AM, οἷ V, οἷον Gal. et R′[2] 17 ἐντετᾶσθαι AM ἀπερρωγέναι pro ἀπέρρωγε καὶ A 18 ἡ ante ἀντίσπ. om. A 20 πίμπλανται A 21 τουτέοισι pro τοιούτοισι V

τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίῃ ἀποφέρηται, δεινότερα καὶ ἀφυκτότερά ἐστι διὰ τὴν ὥρην καὶ ὅτι ἀπὸ θερμῶν καὶ δριμέων.

7. L. 11. *Ἢν πυρετὸς λάβῃ, παλαιῆς κόπρου*
418 *ὑπεούσης νεοβρῶτι ἐόντι, ἤν τε σὺν ὀδύνῃ πλευροῦ, ἤν τε μή, ἡσυχίην ἄγειν, μέχρι οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην. πόματι δὲ χρῆσθαι ὀξυμέλιτι. ὁπόταν δὲ ἐς τὴν ὀσφὺν βάρος ἥκῃ, κάτω κλύσαι κλυσμῷ ἢ καθᾶραι φαρμάκῳ. ὅταν δὲ καθαρθῇ, διαιτᾶν ῥυφήματι πρῶτον καὶ πόματι μελικρήτῳ, ἔπειτα σιτίοισι καὶ ἰχθύσιν ἑφθοῖσι καὶ οἴνῳ ὑδαρεῖ ἐς νύκτα ὀλίγῳ, ἡμέρης δὲ ὑδαρὲς μελίκρητον. ὁπόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν, οὕτως ἢ βαλάνῳ ἢ κλυσμῷ· εἰ δὲ μή, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν ἐς τὴν κάτω κοιλίην καταβῇ, εἶθ' οὕτω κλυσμῷ ὑπαγαγεῖν.*

12. *Ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἤν σοι δοκέῃ φαρμακεύειν ἐπιτηδείως ἔχειν, ἔσω τριῶν ἡμερέων μὴ φαρμακεύειν[, ἀλλ' ἢ τεταρταῖον]· ὁπόταν*
420 *δὲ φαρμακεύσῃς, | τοῖσι ῥυφήμασι χρέω, φυλάσσων τοὺς παροξυσμοὺς τῶν πυρετῶν, ὅκως μηδέποτε προσοίσεις ἐόντων μηδὲ μελλόντων ἔσεσθαι τῶν πυρετῶν, ἀλλὰ ληγόντων ἢ παυσαμένων καὶ ὡς πορρωτάτω ἀπὸ τῆς ἀρχῆς.*

1 *ἑκουσίη* (mut. in *ἑλκ.* A) libri, *-σίῃ* Litt. *δεινοτέρη* MV 2 *ἀφυκτοτέρη* MV 5 ante *νεοβρ.* add. *ἢ* MV 6 *ἄγῃ* V 7 *χρεέσθω* M 8 *ὀσφῦν* MV, *ὀσφῦν* A, mut. in *ὀσφύν* ante *κάτω* add. *καὶ* A 9 *κλῦσαι* V *καθάραι* MV, *καθᾶραι* om. A 10 ante *μελικρ.* add. *καὶ* A 11 *ἐφθοῖσι* V 12 *ἡμέρῃ* M, *ἡμέρῃ* V 13 *φύσαι* A, *φύσεες* V *ἐῶσιν* AV 15 *καταβῇ* post *ἕως ἂν* MV *ὑπάγειν* A 18 *ἀλλ' ἢ τετ.* MV vulg., *μὴ δὲ τετ.* A, del. Rhd. 19 *χρῶ* A, *χρεόμενος* MV *διαφυλάσσων* MV 20 *προσοίσεις* A, *η* ss. A[4] 21 *ἐόντων μηδὲ* om. A *ἔσεσθαι· τῶν πυρετῶν* A *τῶν πυρ.* om. MV 22 *ἀλλὰ* pro *ἢ* A *προσωτάτω* A

13. *Ποδῶν δὲ ψυχρῶν ἐόντων μήτε ποτὸν μήτε ῥύφημα μήτε ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιστον ἡγέου τοῦτ᾽ εἶναι, διαφυλάσσεσθαι, ἕως ἂν διάθερμοι γένωνται σφόδρα· εἶθ᾽ οὕτω τὸ συμφέρον πρόσφερε. ὡς γὰρ ἐπὶ τὸ πολὺ σημεῖόν ἐστι μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ ψύξις ποδῶν. εἰ δ᾽ ἐν τοιούτῳ καιρῷ προσοίσεις, ἅπαντα τὰ μέγιστα ἐξαμαρτήσεις· τὸ γὰρ νόσημα αὐξήσεις οὐ σμικρῶς. ὅταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον θερμότεροι οἱ πόδες γίνονται τοῦ ἄλλου σώματος· αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας, ἐξαπτόμενος ἀπὸ τοῦ θώρηκος καὶ ἐς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα. συνδεδραμηκότος δὲ ἀλέος τοῦ θερμοῦ ἅπαντος ἄνω καὶ ἀναθυμιωμένου ἐς | τὴν κεφαλήν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται,* 422 *ἄσαρκοι καὶ νευρώδεες φύσει ἐόντες. ἔτι δὲ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων ψύχονται, συναθροιζομένου τοῦ θερμοῦ ἐς τὸν θώρηκα· καὶ πάλιν ἀνὰ λόγον λυομένου τοῦ πυρετοῦ καὶ κατακερματιζομένου ἐς τοὺς πόδας καταβαίνει· κατὰ δὲ τὸν χρόνον τοῦτον ἡ κεφαλὴ καὶ ὁ θώρηξ κατέψυκται.*

14. *Τοῦ δ᾽ εἵνεκα τότε οὐ προσαρτέον, ὅτι, ὅταν οἱ πόδες ψυχροὶ ἔωσιν, θερμὴν ἀνάγκη τὴν ἄνω κοιλίην εἶναι καὶ πολλῆς ἄσης μεστὴν καὶ ὑποχόνδριον* 424

1 *πολλῶν* pro *ποδῶν* A, em. A[2] 2 *μήτ᾽ ἄλλο* MV 3 *ἡγοῦ* A, *ἡγοῖο* MV 7 *καὶ ρῶ* A *πάντα* A 8 *σμικρῷ* A, *σμικρῶς* C, *μικρῶς* MV 9 *οἱ πόδες θερμ.* MV 11 *ἐκ* pro *ἀπὸ* MV *καὶ* om. MV 13 *ἀλέος* A, *ἄλεος* M, *ἄλλεως* V 16 *οὖν ἀθρ.* pro *συναθρ.* A 18 *ἀνάλογον* AM, *ἀναλόγον* V, *ἀνὰ λόγον* IJK 19 *κατὰ τόνδε οὖν τὸν χρ. ἡ κ.* MV 20 post *κατέψυκτ.* add. *τουτέων* MV 21 *εἵνεκεν τουτέου* (mut. in *τότε οὐ* Erm.) MV pro *τοῦ δ᾽ εἵνεκα* *προσαρτέον* om. A 22 *ἑῶσιν* A, *ἑῶσι* V *ἄνω* om. libri, *κάτω* A, unde Erm. dedit *ἄνω*

ἐντεταμένον καὶ ῥιπτασμὸν τοῦ σώματος διὰ τὴν ἔνδον ταραχὴν καὶ μετεωρισμὸν καὶ ἀλγήματα· καὶ ἕλκεται καὶ ἐμεῖν ἐθέλει, καὶ ἢν πονηρὰ ἐμέῃ, ὀδυνᾶται. θέρμης δὲ καταβάσης ἐς τοὺς πόδας καὶ οὔρου διελθόντος, κἢν μὴ ἱδρώσῃ, πάντα λωφᾷ. κατὰ τόνδε οὖν τὸν καιρὸν τὸ ῥύφημα διδόναι· τότε δὲ ὄλεθρος.

8 L. 15. Οἷσι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρή, τούτοισι διαφερόντως τοὺς πόδας θερμαίνων καὶ περιστέλλων κηρώμασι καὶ ταινιδίοισι περιελίσσων πρόσεχε, ὡς μὴ ἔσονται ψυχρότεροι τοῦ ἄλλου σώματος. θερμοῖσι δ' ἐοῦσι θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει, ὅκως μὴ ψυχθήσονται. πόματι δὲ χρῆσθαι ὡς ἐλαχίστῳ ψυχρῷ ὕδατι ἢ μελικρήτῳ.

426 16. Ὁπόσοισι δὲ κοιλίη ὑγρὴ καὶ γνώμη | τεταραγμένη, οἱ πολλοὶ τῶν τοιούτων τὰς κροκύδας ἀφαιρέουσι καὶ τὰς ῥῖνας σκάλλουσι καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον, αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσιν κατηρτημένον· δοκεῖ οὖν μοι τὰ τοιάδε μελαγχολικὰ εἶναι. ἢν δὲ τοιῶνδε ἐόντων ἡ κοιλίη ὑγρὴ ᾖ, δοκεῖ μοι τὰ ῥυφήματα ψυχρότερα καὶ παχύ-

1 ἐνταμένον M 2 μετεωρισμὸς M., ν ss. ead. m. post μετεωρ. add. γνώμης MV 3 ἐθέλοι A ὀδυνῆται M, ὠδύνηται V 5 καὶ ἢν MV ἱδρὼς ᾖ A 6 ante τὸ add. δεῖ MV 7 ὄλεθρος A[1], mut. A[2] in ὀλέθριος 8 δὲ ante διὰ om. A διατελέως A ἡ om. MV 10 τενιδίοις A, τεναιδίοισι M 11 ὥστε (sic) μήτ' A μὴ δὲν A 13 ψυχθήσωνται A 14 ἐλλαχίστω A ὕδ. ψυχρῷ MV 16 post δὲ add. ἐν πυρετοῖς MV 17 ante οἱ π. add. καὶ MV 18 ῥίνας A σκαλάουσι A, σκάνλουσι V 19 ἐφ' pro ἀφ' A 20 κατηρτισμένον V 21 ὅσων τοιῶνδε ἐόντων ἢν ἡ. κ. MV 22 post ᾖ add. καὶ συντήκῃ MV

τερα προσφέρειν, καὶ τὰ πόματα ⟨τὰ⟩ στατικὰ [καὶ] οἰνωδέστερα ἢ καὶ στυπτικώτερα.

17. *Ὁπόσοισι δὲ τῶν πυρετῶν δῖνοί τε ἀπ' ἀρχῆς
καὶ σφυγμοὶ τῆς κεφαλῆς εἰσι καὶ οὖρον λεπτόν, τού-
τοισι προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνθησόμε-
νον τὸν πυρετόν· οὐ θαυμάσαιμι δ' ἂν οὐδ' εἰ παρα-
φρονήσειαν. οἷσι δὲ ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα καὶ
παχέα, τοὺς | τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τὰ ἄλλα* 428
*συμφέρῃ. ὁπόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτά, μὴ
φαρμάκευε τοὺς τοιούσδε, ἀλλ' ἢν δοκῇ, κλύσαι. τοὺς
τοιούτους συμφέρει οὕτω θεραπεύεσθαι· τῷ σώματι
ἡσυχίην ἄγοντας ἀλείφοντά τε καὶ περιστέλλοντα ὁμα-
λῶς· ποτῷ δὲ χρῆσθαι μελικρήτῳ ὑδαρεῖ καὶ ῥυφή-
ματι χυλῷ πτισάνης ἐς ἑσπέρην. κοιλίην δὲ ὕπαγε
κατ' ἀρχὰς κλυσμῷ· φάρμακα δὲ δὴ πρόσαγε | τού-* 430
*τοισιν· ἢν γάρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ
πεπαίνεται, ἀλλ' ἄνιδρός τε καὶ ἄκριτος ὁ πυρετὸς ἐπὶ
πολὺν χρόνον ἔσται. τὰ δὲ ῥυφήματα, τῶν κρισίων
ὁπόταν ἐγγὺς ᾖ, μὴ δίδου, ἢν θορυβῆται, ἢν δὲ ἀνῇ
καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. φυλάσσεσθαι δὲ δεῖ καὶ
τῶν ἄλλων πυρετῶν τὰς κρίσιας καὶ ἀφαιρεῖν τὰ ῥυφή-
ματα κατὰ τοῦτον τὸν καιρόν. μεμαθήκασι δὲ μακροὶ*

1 *στατικὰ* A M V, *σταλτικὰ* vulg. *τὰ* add. Rhd. *καὶ* delevi 2 *καὶ* ante *στυπτ.* om. M V 3 *δεινοὶ* A, *δεῖνοι* M, *δεινοῖ* V *ἀπαρχῆς* A 4 *τῆς* om. M V 5 ante *προσδέχ.* add. *δεῖ* V *πρὸς* om. M V *παροξυνόμενον* M V 7 *δὲ* ante *ἐν* om. M V post *νεφελ.* add. *ἢ* M V 8 *ὑποκαθαίρειν . . . τοιούσδε* om. A 10 *τοιούτους* pro *τοιούσδε* V *κλῦσαι* V 10. 11 *τούτους* pro *τοὺς τοιούτους* M V 12 *ἄγοντα* M V 14 *ἐς* om. A *ὕπαγε* mut. A[4] in *ὑπάγειν* 15 *καταρχὰς* A 17 *ἀλλὰ* M V *ἄνιδρος* mut. in *ἀνιδρώς* A, *ἄνιδρώς* V 18. 19 *ὁκόταν τ. κρισίων ἐγγὺς ᾖ* M V 19 *ὁκόταν* pro *ἢν* M V 20 *ἐπιδίδοι* A *χρὴ* pro *δεῖ* M V 21 *πάντων τῶν πυρ.* M V 22 *μεμάθηκας· εἰ* pro *μεμαθήκασι* M V, *μεμάθηκας* A, ss. *οἷσι* A[2]

432 οἱ πυρετοὶ οἱ τοιοίδε γίνεσθαι καὶ ἀποστήματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα καὶ τράχηλον· ἢν δὲ μὴ ψυχρὰ ᾖ, ἄλλας ἴσχει μεταβολάς. ῥεῖ δὲ καὶ αἷμα ἐκ ῥινῶν καὶ κοιλίη τοιούτοισιν ἐκταράσσεται.

18. Ὁπόσοισι δὲ πυρετοὶ ἀσώδεές εἰσι καὶ ὑποχόνδρια συντείνουσι, καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτῷ, καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείστης ἐπιμελείης καὶ φυλακῆς δέονται. διάγειν δὲ τούτοισι
434 προσφέροντα μηδὲν ἄλλο ἢ ὀξύμελι ὑδαρές, | ἕως ἂν λήξῃ καὶ οὖρον πεπανθῇ. κατακλίνειν δὲ ἐς ζοφερὰ οἰκήματα, καὶ κεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασι πολὺν χρόνον ἐπὶ ταῦτα καρτερέοντα καὶ ὡς ἥκιστα ῥιπτάζειν· μάλιστα γὰρ τοῦτο τοὺς τοιούτους ὠφελεῖ. ἐπὶ δὲ τὸ ὑποχόνδριον λίνου σπέρμα ἐγχρίων ἐπιτίθει, φυλασσόμενος ὅπως μὴ φρίξῃ προστιθέμενον· ἔστω δὲ ἀκροχλίαρον, ἑφθὸν ἐν ὕδατι καὶ ἐλαίῳ.

19. Τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων τὸ μέλλον ἔσεσθαι· ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω· ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα· ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει, καὶ ἀνάγκη τῷ νοσέοντι μεταβάλλειν καὶ ἐπὶ τὰ χείρω καὶ ἐπὶ τὰ βελτίω τὴν ἀνωμαλίην.

1 γίνονται A   ἀποσκήμματα MV   2 ῇ A   3 ἀλλὰ MV, ἄλλα A, mut. A² in ἄλλας   ἴσχειν A   4 κοιλίαι (sine art.) τοῖσι τοιουτέοισι ἐκταράσσονται MV   5 ὁπόσοι δὲ ἐν πυρετοῖσιν ἀσ. A   7 ἄκρα A, ἄκραια MV   8 ταραχῆς (παρατηρήσιος? cf. § 54) καὶ ἐπιμελείας A pro ἐπιμ. κ. φυλ. 9 προσφέροντας libri, -ντα Erm.   post ὑδαρές add. ῥόφημα δὲ μὴ πρόσφερε omn. praeter A   ὡς pro ἕως A   11 κατακεκλεῖσθαι M, κατακεκλίσθαι V   12 τὰ αὐτὰ pro ταῦτα MV   13 μάλ. δὲ (τοῦτο om.) τοὺς τοιούσδε ὠφ. MV   14 ἐγχρείων MV   15 προστιθέμενος MV   16 ἑφθὸν AV   ἐν om. MV   19 πονηρά A   20 ἔχει A   21 νοσήματι MV pro νοσέοντι

20. *Τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν ἐᾶν, μέχρι ἂν στῶσιν· ὁπόταν δὲ στῶσιν, ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων.*

9 L. 21. *Εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων· διὸ προσεκτέον τῷ | ἰωμένῳ, ὅπως μὴ διαλήσει τι* 436 *τῶν προφασίων μήτε τῶν κατὰ λογισμὸν ὅσα τ' ἐς ἀριθμὸν ἄρτιον ἢ περισσὸν δεῖ φανῆναι. μάλιστα μὲν οὖν δεῖ τὸν περισσὸν ἀριθμὸν εὐλαβεῖσθαι, ὡς αἵδε αἱ ἡμέραι ἑτερορρεπέας ποιέουσιν τοὺς κάμνοντας.*

22. *Φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέρην, ᾗ ἤρκται ἀσθενεῖν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν ἐξ ὅτου καὶ δι' ὅτι· ἡγεῖται γὰρ τοῦτο πρῶτον εἰδῆσαι. ὁπόταν δὲ ἔρῃ αὐτὸν καὶ διασκέψῃ | πάντα, πρῶτον μὲν κε-* 438 *φαλὴν ὅπως ἔχει, εἰ ἀνάλγητος καὶ μὴ βάρος ἔχει ἐν ἑωυτῇ· ἔπειτα ὑποχόνδρια καὶ πλευρά, εἰ ἀνάλγητα· ὑποχόνδριον μὲν γάρ, ἢν ἐπίπονον ᾖ ἢ ἐπηρμένον ἢ ἔχῃ τινὰ σκολιότητα ἢ κόρον ἢ πλευροῦ ἀλγηδὼν ἐνῇ καὶ ἅμα τῷ ἀλγήματι βηχίον ἢ στρόφος ἢ πόνος κοιλίης· ὅταν τι τούτων παρῇ, ὑποχονδρίων μὲν μάλιστα, λύειν κοιλίην κλυσμοῖσιν· πινέτω δὲ μελίκρητον θερμὸν ἀφεψημένον. καταμανθάνειν δὲ καὶ ἐν τῇσιν ἐξαναστάσεσιν, εἰ λειποθυμεῖ καὶ εἰ τοῦ πνεύματος*

1 *μέχρι* A[1], ς add. A[3] 2 *////στῶσιν* M 5 *διαλύσεται* A, supra ε ss. η A[2], *διαλήσεται* MV, *διαλήσει τι* Rhd. 6 ante prius *τῶν* add. *τις* MV *μήτε ὁκόσα ἐς* MV, *ὅσα τ' ἐς* (*μήτε* om.) A 8 *ὧν* pro *οὖν* M, *ὧν* V *τὸν* om. MV *ὡς αὗται* MV, *ὅσαι δὲ* A, mut. in *ὡς αἵδε* A[3] 9 *ἑτερορροπέας* A 11 *ἐξότου* V 12 *ὅ τι* pro *δι' ὅτι* MV 13 *ἐρεῖ* A *διασκέψηται ταῦτα πάντα* MV 14 *ἔχειν* A, *ἔχῃ* M 15 *ἔπει τὰ* A *ἢ πλευρὰ* A, *καὶ τὰ πλ.* MV *ἀναλγῆ* A 16 *εἰ . . ἐστιν* MV *ἢ* ante *ἔχῃ* om. A 17 *ἔχει* AMV, *ἔχῃ* vulg. *ἐνῇ* V, *ἐνεῖ* M 18 *ἀλγήμα* V *ἢ βηχεῖον* MV 19 ante *τι* add. *δέ* MV *ὑποχόνδριον* A 21 *ἐν* om. M 22 *λιποθυμέει* M

εὐφορίῃ αὐτὸν ἔχει. ἰδεῖν δὲ τὴν διαχώρησιν, μή τι
μέλαν διεχώρησεν ἰσχυρῶς χρῶμα ἢ εἰ καθαρόν, ὁποῖα
ὑγιαίνοντος ἂν εἴη διαχωρήματα, καὶ ὁ πυρετὸς ⟨εἰ⟩
440 *ἐς τὴν τρίτην ἐπιπαροξυνόμενος· | κατιδὼν δὲ εὖ μάλα*
τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς
ταύτην ἤδη καὶ τἄλλα συνορᾶν· καὶ ἢν ἡ τετάρτη τῇ
τρίτῃ ἡμέρῃ ὁμοῖόν τι ἔχῃ τῶν αὐτῶν τούτων, κινδυ-
νώδης ὁ κάμνων γίνεται.

23. *Τὰ δὲ σημεῖα· ἡ μὲν μέλαινα διαχώρησις*
θάνατον σημαίνει, ἡ δὲ ὁμοίη τῷ ὑγιαίνοντι, ὁπόταν
ἁπάσας τὰς ἡμέρας φαίνηται, σωτήριον· ὁπόταν δὲ μὴ
ὑπακούῃ τῇ βαλάνῳ, ἐπῇ δὲ τοῦ πνεύματος εὐφορίῃ,
ἢ διαναστὰς ἐπὶ θρόνον ἢ αὐτοῦ ἐν τῇ κλίνῃ, ἢν
ἀψυχίη ἐγγένηται, ταῦτα ὁπόταν προσῇ τῷ κάμνοντι
[ἢ τῇ καμνούσῃ], παραφροσύνην ἐσομένην προσδέχου.
442 *προσέχειν δὲ χρὴ καὶ τῇσι | χερσίν· ἢν γὰρ τρομεραὶ*
ἔωσιν, προσδέχου τῷ τοιῷδε ἀπόσταξιν αἵματος ἐκ ῥινῶν
ἐσομένην. ὁρᾶν δὲ χρὴ τοὺς μυκτῆρας ἀμφοτέρους· ἢν
γὰρ ὁμοίως τὸ πνεῦμα δι' ἀμφοῖν ἕλκηται καὶ πολὺ
φέρηται διὰ τῶν μυκτήρων, φιλεῖ γίνεσθαι σπασμός·

1 *αὐτὴν* pro *αὐτὸν* V *ἰδὼν* AMV, *ἰδεῖν* vulg. *τὴν* ante *διαχ.* om. MV 2 post *ἰσχ.* add. *πάνυ* A *εἰ* om. A 3 *εἰ* add. Erm. 4 *δὲ* om. A 6 *εἴδη* A *τὰ ἄ.* MV 7 *ἡμέρα* V *ἔχει* A, *ἔχειτι* V, *ἔχῃ τι* M 8 *γίνηται* A 9 *εἰ* (?) A[1] mut. A[4] in *ἡ*, *ἢ* M *μέλανα* A 10 *ἢν* MV, *εἰ* A pro *ἡ* 11 *ἀνὰ πάσας* pro *ἁπάσας* MV *σωτηρίην* M 12 *ἐπὴν* A, *ἐνη* MV *δὲ καὶ* A *ἀπορίη* V 13 *ἢ* post *εὐφορίῃ* om. MV, *η* A[1], mut. A[4] in *ᾗ εἰ* *τὸν θρόν.* MV 14 *ἐνῇ* pro *ἐγγέν.* MV ante *ὁπόταν* add. *δὲ* MV 15 *ἢ τῇ καμν.* del. Erm. post *κάμν.* add. *κατ' ἀρχὰς* MV *προσδέχου ἐσ.* MV 17 *ἐῶσι(ν* A) AV 18 post *χρὴ* add. *καὶ* MV *αὐτοὺς τοὺς μυκτ.* MV *ἀμφοτ.* om. MV *ὧν* pro *ἢν* A 19 *γὰρ* om. MV *ἀμφοτέρων* pro *ἀμφοῖν* MV *ἢν* ante *πολὺ* add. MV 20 *ἐκ* pro *διὰ* MV

ἢν δὲ σπασμὸς ἐγγένηται τῷ τοιῷδε, θάνατος προσδόκιμος, καὶ καλῶς ἔχει προλέγειν.

10 L. 24. Ἢν δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχεῖα γένηται καὶ ἀψυχίαι ἐνέωσιν, φιλεῖ τῷ τοιῷδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ· ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ καὶ ὑδατοποσίῃ καὶ μελικρήτου πόσει· καὶ χυλοῖσι παραφύλασσε μηδὲν πιστεύων τῇ ἀνέσει τῶν πυρετῶν, ὡς οἱ τοιάδε ἔχοντες σημεῖα ἐπικίνδυνοί εἰσι θνήσκειν. ὁπόταν δὲ ταῦτα συνίδῃς, οὕτω προλέγειν, ἤν | σοι ἀρέσκῃ, θεωρήσας εὖ μάλα. 444

25. Ὅταν δ' ἐν πυρετοῖσι φοβερόν τι γένηται 11 πεμπταίοις ἐοῦσιν, ἢν ἡ κοιλίη ἐξαίφνης ὑγρὰ διαχωρήσῃ καὶ ἀψυχίη ἐγγένηται ἢ ἀφωνίη ὑπολάβῃ ἢ σπασμώδης γένηται ἢ λυγμώδης, ἐπὶ τούτοισιν ἀσώδεα φιλεῖ γίνεσθαι καὶ περὶ ὑπορρίνιον καὶ μέτωπον ἱδρῶτες καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς· οἱ δὲ ταῦτα πάσχοντες θνήσκουσιν πνευματωθέντες οὐκ ἐς μακρόν.

26. Οἷσι δ' ἐν πυρετοῖσι τὰ σκέλεα γίνεται φυματώδεα καὶ ἐγχρονιζόμενα μὴ ἐκπεπαίνεται ἐόντος ἐν πυρετοῖσιν, ἢν καὶ προσπέσῃ πνιγμὸς φάρυγγι ἰσχνῶν ἐόντων τῶν περὶ τὴν φάρυγγα καὶ μὴ πεπαίνηται, ἀλλὰ | σβεσθῇ, φιλεῖ τῷ τοιῷδε αἷμα ῥεῖν ἐκ ῥινῶν· 446

1 γένηται pro ἐγγ. MV 2 ἔχειν A 3 δ' om. V, δὲν A 4 γίνεται (η suprascr.) A ἐῶσι A, ἐνεῶσι V 5 ἐπανέσιας A 6 ὕδατος πόσει ἢ κ. μ. A 7 χυμοῖσι MV μὴ δὲν A μὴ δ' ἐμπιστεύων V 8 ὅσοι pro ὡς οἱ MV 9 συνειδῇς MV, συνίδης A[1], mut. A[4] in συνιδῇς ἀρέσκει V 11 δὲ πυρ. (ἐν om.) A 12 ἢν ap. Foes. et Imp. Samb. ap. Mack., om. AMV διαχωρήσει V 13 γίνηται pro ἐγγ. MV 14 ἀσώδης MV 15 γενέσθαι MV ὑπορίνιον AMV μετώπον A 16 λυχένα pro αὐχένα A ὄπισθεν A 17 εἰς μικρὸν V 19 ἐκπεπένηται M 20 ἢν om. M ante φάρυγγι add. ἐν MV 21 τὴν om. MV 22 μηδὲ pro ἀλλὰ A ἐκ ῥιν. ῥ. MV

καὶ ἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου· ἢν δὲ μή, μακρήν· ὁπόσῳ δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον κατὰ μῆκος. ἢν δὲ τὰ ἄλλα ῥήϊστα γένηται, προσδέχεσθαι τῷ τοιῷδε ἐς πόδας ἀλγήματα· ἢν δὲ ἅψηται τοῦ ποδὸς καὶ ἐπώδυνος γενόμενος παραμένῃ πυριφλεγὴς γενόμενος καὶ μὴ λυθῇ, κατὰ σμικρὸν ἥξει καὶ ἐς αὐχένα ἀλγήματα καὶ ἐς κληῖδα καὶ ἐς ὦμον καὶ ἐς στῆθος καὶ ἐς ἄρθρον, καὶ τοῦτο δεήσει φυματῶδες γενέσθαι· σβεννυμένων δὲ τούτων ἢν αἱ χεῖρες ἐφέλκωνται ἢ τρομεραὶ γένωνται, σπασμὸς τὸν τοιόνδε ἐπιλαμβάνει καὶ παραφροσύνη· καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν καὶ ἐρυθήματα ἴσχει, καὶ τὸ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει, καὶ σκληρὴ 448 *φλεγ|μονὴ κατέχει, καὶ οἰδεῖ ἰσχυρῶς ὁ ὀφθαλμός, καὶ ἡ παραφροσύνη μέγα τι ἐπιδιδοῖ. αἱ δὲ νύκτες μᾶλλον σημαίνουσιν ἢ αἱ ἡμέραι τὰ περὶ τὴν παραφροσύνην. τὰ δὲ σημεῖα μάλιστα γίνεται ἐπὶ τὸν περισσὸν ἀριθμὸν ἢ ἐπὶ τὸν ἄρτιον· ἐν ὁποτέρῳ δ' ἂν τῶν ἀριθμῶν τούτων γίνηται, ὄλεθροι ἐπιγίνονται.*

27. *Τοὺς τοιούσδε ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης, ἢν βορβορύζῃ ἡ κοιλίη· εἰ δὲ μή, ἐᾶν ἀφαρμάκευτον εἶναι· ἢν δὲ διαβορβορύζῃ*

1 *κἢν* MV 3 *καὶ* (scripsi *κατὰ*) *μῆκος* AMV vulg., *καὶ ἐπίμηκες* DHJKLQ' *τἄλλα* M, *τἆλλα* V *ῥήϊστα* mut. A^{3} in *ῥυϊστά* 6 *περιφλεγὴς* Linden Rhd. 7 *κληΐδας* A 10 *γίνονται* A *τὸ* V, *τὸ///* M, *τοιό//νδε* (antea *τῶν τοιῶνδε*?) M 11 ante *καὶ φλυζ.* add. *ἀτὰρ* MV *φλυζακία* V 12 *ὀφρῦν* V *τὸ* ante *βλέφ.* om. MV 13 *περιβλαστάνει* V 15 *ἡ* ante *παραφρο*σ. om. MV *τι* om. MV, *μετὰ τὶ* A *νύκταις* A 16 *ἢ* om. A^{1}, add. A^{4} *ἀφροσύνην* A 17 ante *ἐπὶ* add. *πολλὰ* MV 18 *ἐν* om. MV 19 *τούτων τῶν ἀρ.* MV 20 *τοιούς δὲ* A, *τοιούτους δὲ* MV 21 *βορβορύξῃ* MV 22 *ἀφαρμακεύτους* R'S'Gal. i. t. ante *διαβορβ.* add. *μὴ* A

καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῃ ὑποκάθαιρε μετρίως· ἐν δὲ τῇ ἄλλῃ θεραπείῃ ὡς ἐλάχιστα προσφέρειν ποτὰ καὶ ῥυφήματα, ὡς βελτιόνως ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην ἐπανέντες.

28. Ὁπόταν πυρέσσοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη παραγένηται, οὐ φιλεῖ λύσις ταχεῖα οὐδ' ἀπαλλαγὴ τοῦ νοσήματος γίνεσθαι, ἀλλὰ χρόνον τῷ τοιῷδε σημαίνει· ὁπόταν γὰρ φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ, μακρότερον συμπίπτει. ὅταν πυρέσσοντι τεταρταίῳ γλῶσσα | ἐκτεταραγμένα διαλέγηται καὶ ἡ κοιλίη χο- 450 λώδεα διαχωρῇ ὑγρά, φιλεῖ παραληρεῖν ὁ τοιόσδε· ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσιν.

29. Θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων αἵματος ἀπόσταξις ἐξαπίνης συντονίην καὶ πολλὴν θεραπείην κατὰ φλέβας δηλοῖ καὶ ἐς τὴν ὑστεραίην λεπτῶν οὔρων ἐπιφάσιας. καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ καὶ τὸ σῶμα ἐκ γυμνασίων ᾖ ἢ εὐσαρκώσιος ἔχῃ ἢ μελαγχολικὸς ᾖ ἢ ἐκ πόσιος χεῖρες τρομεραί, καλῶς ἔχει παραφροσύνην προειπεῖν ἢ σπασμόν. κἢν μὲν ἐν ἀρτίῃσιν ἐπιγένηται, βέλτιον· ἐν κρίσει δὲ ὀλέθριον, ἢν μὴ πολὺ ἁλὲς ἀποχυθὲν αἷμα ἐξόδους ποιήσηται | τῆς 452 πλεονεξίης κατὰ ῥῖνας ἢ κατὰ ἕδρην ἐμποιήσῃ ἀπό-

1 σκαμμωνίῳ MV 2 ἐν om. MV 3 ἵνα pro ὡς MV βελτίωνος A 4 τέσσαρες καὶ δεκαταίω A 5 τέσσαρες καὶ δεκάτην V 6 προσγέν. MV 8 δὲ pro γὰρ MV ἐν pro ἐπὶ V 9 ante πυρέσσ. add. δὲ MV 10 ἡ γλῶσσα M 11 ὑποχωρέῃ V, ὑποχωρέει M 16 διλοῖ A ὑστερέην A 18 ἐν γυμνασίῳ MV ᾖ om. MV ἔχει V 19 ᾖ om. MV πτώσιος A 20 καὶ ἢν A ἐς pro ἐν V

21 ἐπιτίνηται A, γ ss. A[3] βελτίω AMV, βέλτιον vulg. 22 ἀλὲς A, ἅλες MV ἀποσυθὲν M, ἀποσυληθὲν V 23 ῥίνας AV ἐμπλησθείσης AMV, ἐμποιήσειεν FJZ Gal. i. t., ἐμ-

στασιν ἢ πόνους ἐν ὑποχονδρίῳ ἢ ἐς ὄρχιν ἢ ἐς σκέλεα· πεφθέντων δὲ τούτων ἔξοδοι γίνονται πτυσμῶν παχέων, οὔρων λείων λευκῶν.

30. *Πυρετῷ λυγγώδει*· ὀπὸν σιλφίου, ὀξύμελι, δαῦκον τρίψας πιεῖν δίδου καὶ χαλβάνην ἐν μέλιτι καὶ
456 κύμινον ἐκλεικτὸν καὶ χυλὸν | πτισάνης ἐπὶ τούτοισι ῥυφεῖν. ἄφυκτος δὲ ὁ τοιοῦτος, ἢν μὴ ἱδρῶτες κριτικοὶ καὶ ὕπνοι ὁμαλοὶ ἐγγίνωνται καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ ἢ ἐς ἀποστήματα καταστηρίξῃ. κόκκαλος καὶ σμύρνα ἐκλεικτόν· πίνειν δὲ τοῖσι τοιούτοις ὀξύμελι δίδου ὡς ἐλάχιστον· ἢν δὲ διψώδεες ἔωσι σφόδρα, τοῦ κριθίνου ὕδατος.

11 L. 31. *Τὰ δ' ἐν πνεύμονι καὶ πλευρίτιδι* ὧδε χρὴ σκέπτεσθαι· ἢν ὀξὺς ὁ πυρετὸς ᾖ καὶ τὰ ὀδυνήματα τοῦ ἑτέρου πλευροῦ ἢ καὶ ἀμφοῖν καὶ τοῦ πνεύ-
458 ματος δὲ | ἀναφερομένου ἢν πονῇ καὶ βῆχες ἐνέωσιν καὶ τὰ πτύαλα πτύῃ πυρρὰ ἢ πελιδνὰ ἢ καὶ λεπτὰ καὶ ἀφρώδεα καὶ ἀνθηρὰ καὶ εἴ τι ἄλλο διαφέρον ἔχοι παρὰ τὰ μεμαθηκότα, τούτοισιν οὕτω χρὴ διάγειν· ἢν μὲν ἡ ὀδύνη ἄνω περαίνῃ πρὸς κληῖδα ἢ περὶ μαζὸν ἢ ἐν βραχίονι, τάμνειν χρὴ τὴν ἐν τῷ βραχίονι

ποιήσῃ Erm. ἢ ἀποστάσεις MV 1 ὄρχιας MV 2 πεμφθέντων A (πεφθ. R', Gal. i. t.), λυθέντων MV πτυσμοὶ libri, πτυσμῶν Gal. i. t. 3 λεπτῶν λείων pro λ. λ. A post λευκῶν iterant ἔξοδοι AMV, ἔξ. om. R' Gal. i. t. 4 ὄπος mut. in ὀπόν A δαύκῳ A 5 δίδου πιεῖν V 6 κείμενον A ἐλικτὸν A, ἐκλικτικὸν M 8 ἐπιγένωνται MV 9 ἀπόστασιν στηρίξῃ MV 10 ἐλλικτὸν A, ἐκλικτός M, ἐκλικτικὸς V τουτέοισιν pro τοιούτ. V 11 διψώδης ᾖ A 12 κριθίου AM, κριθείου V 13 τὰ δὲ περιπλευμονικὰ (περιπνευμονικὰ V) καὶ πλευριτικὰ MV 14 ὀξύς τε ὁ MV 15 ἢ καὶ A, καὶ om. M ἀμφοτέρων MV 16 ἐνεῶσιν A, ἐνεῶσι V 17 πτύσματα pro τὰ πτύαλα MV πτύῃ A, ἀνείῃ MV post λεπτὰ add. ἢ A 20 ἡ ante ὀδ. om. MV κλῃῖδα AV

φλέβα τὴν ἔσω, ἐφ᾽ ὁπότερον ἂν ᾖ τῶν μερέων, κατὰ τόδε· ἀφαιρεῖν δὲ κατὰ τὴν τοῦ σώματος ἕξιν καὶ ὥρην καὶ ἡλικίην καὶ χροιὴν πλέον καὶ θρασέως, ἢν ὀξὺ τὸ ἄλγημα ἐνῇ, ἄγειν πρὸς | λειποψυχίην· ἔπειτα 460 κλύζειν μετὰ τοῦτο. ἢν δὲ ὑποκάτω τοῦ θώρηκος τὸ ἄλγημα ᾖ καὶ συντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε· μεσηγὺ δὲ τῆς καθάρσιος μηδὲν δίδου· μετὰ κάθαρσιν δὲ ὀξύμελι. φαρμακεύειν δὲ τεταρταῖον· τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν, κἢν μὴ κουφίζῃ, οὕτως ὑποκάθαιρε. φυλακὴ δὲ ἔστω καὶ ἀπυρέτου ἕως ἑβδόμης. εἶτα, ἢν ἀσφαλὴς ἐὼν φαίνηται, οὕτω χυλῷ ὀλίγῳ καὶ λεπτῷ τὸ πρῶτον καὶ μέλιτι μίσγων δίδου. ἢν δὲ ἀνάγῃ τε ῥηϊδίως καὶ εὔπνοος ᾖ καὶ ἀνώδυνος τὰ πλευρὰ καὶ ἀπύρετος, κατὰ σμικρὸν παχυτέρῳ τε καὶ πλείονι καὶ δὶς τῆς ἡμέρης. ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ, ἔλασσόν τε τὸ πόμα καὶ τὸ ῥύ|φημα, ὀλίγον χυλὸν λεπτὸν καὶ ἅπαξ, ἐν ὁποτέρῃ 462 ἂν ὥρῃ βέλτιον διάγῃ· γνώσῃ δ᾽ ἐκ τῶν οὔρων.

32. Δεῖ δὲ τὸ ῥύφημα προσφέρειν τοῖσιν ἐκ τῶν νοσημάτων μὴ πρότερον ἢ πέπονα τὰ οὖρα ἢ πτύσματα ἴδῃς γεγενημένα. ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ,

1 ante ἐφ᾽ add. τὴν A εἴη V 2 τῶνδε ἀφαιρέειν· ἀφαιρέειν A 3 θαρσέων AMV, unde dedi θρασέως κἢν MV 4 ἐνενῇ A, ᾖ MV ἀγάγειν A 5 ὑποκλύζ. MV ὑπὸ κάτω A 6 πλείω pro λίην A συντ. πλ. τ. πλευρ., A 7 ὑποκαθαίρε A 9 τρὶς M καὶ ἢν MV 10 οὕτω δ᾽ pro οὕτως A 11 ἕως ἀπυρέτου καὶ ἑβδ. libri, transposuit Rhd. ἔπειτα MV

12 καὶ μέλιτι om. A 13 ἀνάγηται MV, ἀνάγητε A, αι ss. A[3] εὔπν. κ. ἀνώδυνος ᾖ V 14 καὶ ἀπύρετος om. MV 15 πλείωνι A 16 ῥηδίως A ἔλλασσον A ut saepius 17 ὀλιγόχυμον pro ὀλίγον χυλὸν A κ᾽ ἐν ὁποτ. V, καὶ νοποτέρῃ M 18 διάγει MV δὲ καὶ ἐκ MV 19 τὸ om. MV 21 ante φαρμ. add. μὴ A

ἀναγκαῖον διδόναι, ἔλασσον δὲ καὶ λεπτότερον· οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγίης ὑπνώσσειν οὐδὲ πέσσειν ὁμοίως οὐδὲ τὰς κρίσιας ὑπομένειν. ἀλλ' ἐπειδὰν συντήξιες ὠμῶν φαίνωνται καὶ τὰ ἀντέχοντα ἀποβάλῃ, ἀνθέξει οὐδέν.

[πέπονα δ' ἐστὶν τὰ μὲν πτύαλα, ὁπόταν γένηται
464 *ὁμοῖα τῷ πύῳ, τὰ δὲ οὖρα | τὰς ὑποστάσιας ὑπερύθρους ἔχοντα, ὁποῖον ὀρόβων.]*

33. *Οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων χλιάσματα προστιθέναι καὶ κηρώματα· ἀλείφειν δὲ σκέλεα καὶ ὀσφῦν θερμῷ καὶ λίπος ἐγκαταλείφειν· ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. ἀκμαζούσης δὲ τῆς περιπνευμονίης ἀβοήθητον μὴ ἀνακαθαιρομένου, καὶ πονηρόν, ἢν δύσπνοος ᾖ καὶ οὖρα λεπτὰ καὶ δριμέα καὶ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίνωνται. οἱ τοιοίδε ἱδρῶτες πονηροί, ὑπὸ πνιγμοῦ καὶ ῥωχμῆς καὶ βίης ἐπικρατεόντων τῶν νοσημάτων, ἢν μὴ οὖρα παχέα καὶ πολλὰ ὁρμήσῃ καὶ πτύσματα πέπονα ἔλθῃ. ὅ τι δ' ἂν τούτων αὐτοματίσῃ, λύσει τὸ νόσημα.*

466 34. *Περιπνευμονίης ἐκλεικτόν· χαλβάνη | καὶ κόκκαλος ἐν μέλιτι Ἀττικῷ· καὶ ἀβρότονον ἐν ὀξυμέλιτι πιεῖν ⟨καὶ⟩ πέπερι. ἐλλέβορον μέλανα ἀποζέσας πλευ-*

2 *ὑπνώσειν* A 4 *ὤμων* MV *φαίνονται* A, *γένωνται* MV *ἀποβάλλῃ* AMV, *-βάλῃ* K Erm. 6 *πέπονα — ὀρόβ.* (8) del. Erm. *δὲ* pro *δ'* MV 7 *ὑπερρύθ.* A, alterum *ρ* add. alia m. 8 *ἔχοντα* (vulg.) om. AMV 11 ante *σκέλεα* add. *τὰ* MV *ὀσφὺν* A *ἐγκαταλίπειν* A, *-λείπειν* MV 12 *καταπλάσσων* MV 16 *τοιοί δὲ* A 17 *ῥωγμῆς* MV 17. 18 *ὑποκρατ.* V 18. 19 *πολλὰ καὶ παχέα* MV 21 *ἐλλικτὸν* A, *ἐκλικτὸν* M, *ἑλικτὸν* V 22 ante *ἀβρ.* om. *καὶ* MV *ἄβροτον* M, *ἄβρωτον* V 23 *πιεῖν* om. MV *καὶ* ante *πέπερι* (*πέπι* A) omissum in libris addidi *ἐλλέβορος μέλας*

ριτικῷ ἐν ἀρχῇσι περιωδύνῳ ἐόντι δίδου· ἀγαθὸν δὲ καὶ τὸ πάνακες ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα διδόναι πίνειν καὶ ἡπατικοῖσι καὶ τῇσιν ἀπὸ τῶν φρενῶν περιωδυνίῃσι. καὶ ὅσα δὴ ἐς κοιλίην καὶ ἐς
οὔρησιν, ἐν οἴνῳ καὶ ἐν μέλιτι, | τὰ δ' ἐς κοιλίην σὺν 468
ὑδαρεῖ μελικρήτῳ πίνειν πλεῖον δίδου.

12 L. 35. *Δυσεντερίη ἀπόστημα ἢ ἔπαρμά τι παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετοὺς ἢ ἱδρῶτας ἢ οὖρα παχέα καὶ λευκὰ ἐπιφανῇ ἢ ἐς τριταίους ἢ ἐς κιρσὸν ἢ ἐς ὄρχιν ἢ ἐς σκέλεα ἢ ἐς ἰσχία στηρίξῃ ἡ ὀδύνη.*

36. *Ἐν πυρετῷ χολώδει πρὸ τῆς ἑβδόμης μετὰ ῥίγεος ἴκτερος ἐπιγενόμενος λύει τὸν πυρετόν· ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται ἔξω τῶν καιρῶν, ὀλέθριον.*

14 L. 37. *Τετάνου δὲ ὀσφύος καὶ ἀπὸ μελαγχολικῶν διὰ φλεβῶν πνευμάτων ἀπολήψιες ὅταν ἔωσι,*
φλεβοτομίη ῥύεται. ὅταν δ' ἀπὸ τῶν τενόντων σφο- 470
δρῶς ἔμπροσθεν ἀντισπῶνται καὶ ἱδρῶτες περὶ τράχηλον καὶ πρόσωπον, ὑπὸ τοῦ πόνου δακνομένων καὶ ξηραινομένων τῶν τενόντων τῶν ὀρρωδέων, οἳ παχύ-

MVA[1], accusativum restit. A[3] ante *πλευρ.* add. *καὶ* MV 1 *ἀρχῇ* MV *περιοδύνω* A 2 *καὶ* ante *διηθ.* om. AMV, praebent Parr. rec. 3 *τοῖσι* A[1], mut. A[3] in *τῇσιν* 4 *περιοδυνίησῃ* (sic) A *δεὶ* MVA[1], mut. A[3] in *δύῃ*, A[4] in *δυείῃ*, *δὴ* Erm. *ἐς κοιλίην ἢ ἐς οὖρ.* MV 5 *ἐν* alt. om. MV *δ' ἐς* A, *δὲ ἐς* MV *ξυνῶ* pro *σὺν* A 6 *πλεῖον* AMV, *πλείω* vulg. 7 *δυσεντερίην ἢ ἀπ. ἢ ἔπ. τι παυσαμένην* A 8 *καὶ* (pro *ἢ*) *οὖρα* AMV, *ἢ* S′ 9 post *λευκὰ* add. *καὶ λεῖα* V, *καὶ λία* M *ἀποβαίνῃ* Gomp. 10 *κίρων* A, mut. A[4] in *κίρρον* post *σκέλεα* add. *ἀλγήματα* A *στηρίξη.* AV 11 *ἢ* (ˆ ss. A[4]) *ὀδ.* A, *ἡ* (vulg.) om. MV 16 *ἀπολήμψιες* A, *ἀπολείψηες* V *ἔωσι* AV 17 *ῥύεται* A, *λύεται* MV *δὲ* MV *ἀπὸ* AMV, *ὑπὸ* S′ 20 *τῶν ὠρροδέων* A, mut. A[2] in *τῶν νευρωδέων*, *οὐρωδέων* M Gal. in comm. *ὃν* A, mut. A[3] in *οἳ*, *οἱ* MV *παχύτεροι* MV

*τατοι τὴν ῥάχιν συνέχουσιν, ᾗ οἱ μέγιστοι σύνδεσμοι
καταπεφυκότες [ἕως] ἐς πόδας ἀποτελευτῶσι, τῷ τοιῷδε,
ἢν μὴ πυρετὸς ἐπιγένηται καὶ ὕπνος καὶ τὰ ἑπόμενα
οὖρα πέψιν ἔχοντα ἔλθῃ καὶ ἱδρῶτες κριτικοί, πίνειν
οἶνον κιρρὸν οἰνώδεα καὶ ἄλητον ἑφθὸν ἐσθίειν, καὶ
κηρωτῇ ἀλείφειν καὶ ἐγχρίειν, τά τε σκέλεα περιελίσ-
σειν ἕως τῶν ποδῶν, θερμῷ προβρέχων ἐν σκάφῃ, καὶ
βραχίονας ἕως δακτύλων κατελίσσειν, καὶ ὀσφῦν ἀπὸ*
472 *τοῦ τραχήλου ἕως τῶν ἰσχίων, λάσιον | ἐγκηρώσας,
ὅπως καὶ τὰ ἔμπροσθεν περιέξει, καὶ διαλιπὼν πυρία
τοῖσιν ἀσκίοισι, θερμὸν ὕδωρ ἐγχέων, καὶ περιτείνων
σινδόνιον ἐπανάκλινε αὐτόν.* (38.) *κοιλίην δὲ μὴ
λύσῃς, ἢν μὴ βαλάνῳ, ἢν πολὺς χρόνος ᾖ ἀδιαχω-*
474 *ρήτῳ ἐούσῃ. καὶ ἢν μέν τί σοι ἐπιδιδῷ ἐπὶ τὸ | βέλ-
τιον· εἰ δὲ μή, τοῦ μάδου τῆς ῥίζης τρίβων ἐν οἴνῳ
εὐώδει καὶ τοῦ δαύκου πίνειν δίδου πρωὶ νήστει πρὸ
τοῦ βρέχειν, καὶ τάχα ἐπὶ τούτοισιν τὸ ἄλευρον ἑφθὸν
χλιαρὸν ἐσθιέτω ὡς πλεῖστον καὶ οἶνον, ὅταν βούληται,
εὔκρητον ἐπιπινέτω. καὶ ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ
βέλτιον· εἰ δὲ μή, προλέγειν.*

15 L. 39. *Τὰ δὲ νοσήματα πάντα λύεται ἢ κατὰ*

1 ἢ AV 2 ἕως delevi 3 *κ. ὕ. ἐπιγ.* MV 5 *κρίτικον* pro *κιρρὸν* MV *ἐφθὸν* AV 7 *ἐς σκάφην* A 8 *ἕως δακτ.* om. A *ὀσφὺν* A 9 *ἐσθίονον* (i. e. *ὀθόνιον*) A, *σίαλον* MV, *λάσιον* ex Erot. et Gal. lexicis Littraeus post *ἐγκηρ.* add. *μαλακῷ δέρματι* MV 10 *ἔξωθεν* pro *ἔμπροσθεν* MV 11 *περιτεῖνον* M 12 *ἐπανακλεῖν* (*ἐπανακλίνειν* i. m. A^4) *ἑαυτὸν* A 13 ante *λύσ.* add. *λίην* MV ἢ pro ᾖ A *ἀδιαχώρητος ἔχουσα* MV 14 *τοί σι ἐπιδιδῷ* A, mut. A^3 in *τοῖσιν ἐπ.* 15 *μαδοῦ* A, *μάδον* (ss. ead. man.) M, *μόδον* V 16 *δαῦκον* pro *τοῦ δαύκου* MV 17 *ταχὺ* MV *ἐφθὸν* V 18 *χλιερὸν* (ss. A^3) *ἐφθὸν* A 19 *εὔκρατα* A

στόμα ἢ κατὰ κοιλίην ἢ κατὰ κύστιν· ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη κοινὸν ἁπάντων.

16 L. 40. *Ἐλλεβορίζειν δὲ χρὴ οἷς ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα· ὅσοι δὲ ἐξ ἀποστημάτων ἢ φλεβορραγίης ἢ δι' ἀκρησίην ἢ δι' ἄλλην τινὰ ἰσχυρὴν αἰτίην ἔμπυοι γίνονται, μὴ δίδου ἐλλέβορον· οὐδὲν γὰρ | ὠφε-* 476
λήσει, καὶ ἤν τι πάθῃ, αἴτιος δόξει εἶναι ὁ ἐλλέβορος· ἢν δὲ διαλύηται τὸ σῶμα ἢ πόνος ἐν κεφαλῇ ᾖ ἢ ἐμπεπλασμένα τὰ ὦτα ἢ ῥίς, ἢ πτυαλισμὸς ἢ γουνάτων βάρος ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅ τι ἂν συμβαίνῃ μήτε ὑπὸ πότων μήτε ὑπὸ ἀφροδισίων μήτε ὑπὸ λύπης μήτε ὑπὸ φροντίδων μήτε ὑπὸ ἀγρυπνιῶν· ἢν μέν τι τούτων ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιεῖσθαι τὴν θεραπείην.

41. *Τὰ δ' ἐκ πορείης ἀλγήματα πλευρέων, νώτου, ὀσφύος, ἰσχίων, καὶ ὅσα ἀναπνέοντες ἀλγέουσι πρόφασιν ἔχοντες· πολλάκις γὰρ μεμάθηκε φοιτᾶν ἐκ κραι|πάλέων καὶ βρωμάτων φυσωδέων ἀλγήματα καὶ* 478
ἐς ὀσφῦν καὶ ἐς ἰσχία· οἷσι δ' ἂν ᾖ αὐτῶν τοιάδε, δυσουρεῖται· τούτων δὲ πορείη αἰτίη καὶ κορυζέων καὶ βράγχων.

18 L. 42. *Ὅσα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλά,*

1 post *κύστιν* add. *ἢ τινος ἄλλου τοιοῦδε ἄρθρου* MV *εἰ* pro *ἡ* MV 2 *εἰδέη* MV 3 *ἐλεβ.* V *οἷσι* M, *οἷσιν* V 4 *φλεβοραγίης* MV 5 *ἀκρασίην* AMV 6 *ἐλέβ.* V ut solet post *ἐλλέβ.* add. *τοῖσι τοιουτέοισι* M, *τ. τουτέοισιν* V *ὠφελήσῃ* A 7 *κῆν* MV *αἴτιον* MV *δόξειεν* A 8 *ᾖ* om. MV 9 *οὔατα* MV 11 *συμβαίνει* A *μήθ' ὑ. π. μήθ' ὑ. ἀ.* MV *ποτῶν* libri, *πότ.* Gal. l. t. 12 *μήτ' ἀγρ.* A *ὑπὸ* ante *ἀγρυπν.* om. AMV, non om. HR'S' 13 *κῆν* MV 15 *μὴ δὲ τὰ* pro *τὰ δ'* MV *πορίης* A, mut. A^3 in *πορείης* 17 *πολλάκις γὰρ* om. A *μεμάθηκε* A^1 in textu, i. m. ἢ *μεμαθηκέναι* A^3 18 *κρεπαλέων* AM 19 *ὀσφῦς* A *οἷς* A *αὐτέων ᾖ* MV 20 *πορίη* mut. A^3 in *πορείη*

ἕκαστος ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ μάλιστα, ἐπισημαίνει. καὶ γὰρ ὅσοι ἂν μὴ μεμαθηκότες ἀριστᾶν ἀριστήσωσιν, ὄγκος πολὺς αὐτοῖσιν τῆς γαστρὸς καὶ νυσταγμὸς καὶ πληθώρη· ἢν δὲ δειπνήσωσι, κοιλίη ἐκταράσσεται. συμφέροι δ' ἂν τούτοισιν ἐκλουσαμένοισι καθεύδειν· κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον. καὶ ἢν μὲν λαπαχθῇ, δειπνῆσαι καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον· ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίσασθαι τὸ σῶμα θερμῷ. καὶ ἢν διψῇ, ὑδαρέα οἶνον γλυκὺν ἢ λευκὸν ἐπιπιόντα ἀναπαύεσθαι· ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι. τὰ δ' ἄλλα ὁμοίως τοῖς ἐκ κραιπάλης διαιτάσθω.

480 43. *Τὰ δὲ | ἀπὸ πομάτων· ὅσα μὲν ὑδαρέα, βραδύπορά ἐστι καὶ ἐγκυκλεῖται καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια καὶ ἐς οὔρησιν οὐ κατατρέχει. τοιούτου δὲ πόματος πληρωθεὶς μηδὲν ἔργον ὀξέως διαπρήξῃ, ὁπόσα τῷ σώματι συνταθέντι ἢ βίῃ ἢ τάχει πονεῖν συμβαίνει. ὡς μάλιστα δὲ ἡσυχαζέτω, μέχρι καταπεφθῇ μετὰ τῶν σιτίων. ὁπόσα δὲ τῶν πομάτων ἀκρητέστερά ἐστιν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιεῖ. τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι καὶ θερμόν τι ἐπιρρυφεῖν, πρὸς ὅ τι μάλιστα ἥδιστα ἔχουσιν. νηστείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην καὶ κραιπάλην.*

1 *ἐπισημαίνη* V 2 *μαθ.* M 3 ante *ἀριστήσωσιν* add. *ἢν* MV 4 *ἐπιδειπν.* MV 5 *συμφέροι* dedi, libri *ξυμφέρει δ' ἂν* A, *δὲ* sine *ἂν* cet. 7 *κἢν μὲν* MV 9 *ὑποχρήσασθαι* A *κἢν διψῇ* MV 10 *λευκὸν ἢ γλ.* MV *ἢν ... ἀναπαύεσθαι* (11) om. A 12 *κρεπάλης* AM 13 *βραδυπορώτερά* MV 15 *τοιοῦδε* sine *δὲ* A 16 *μὴ δὲν* A 17 *ἢ* ante *βίῃ* om. MV *ταχὺ* A 18 *καταπεμφθῇ* A, *καταπεμφθήτω* M, *καταπεφθήτω* V 21 *ἔχοι* A 22 *ῥοφέειν* MV *ἅπερ* MV pro *ὅ τι* 24 *κρεπάλην* A

44. Ὁπόσοι δὲ μονοσιτεῦσι, | κενοὶ καὶ ἀδύνατοί 482
εἰσι καὶ οὐρέουσι θερμὸν παρὰ τὸ ἔθος κενεαγγέοντες. γίνεται δὲ καὶ τὸ στόμα ἁλμυρὸν ἢ καὶ πικρόν, καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ καὶ κροτάφους ἐπισυντείνονται καὶ τὸ δεῖπνον οὐ δύνανται πέσσειν, ὅπως περ ἢν ἠριστηκότες ἔωσιν. τούτους δὲ χρὴ δειπνεῖν ἔλασσον ἢ μεμαθήκασι καὶ ὑγροτέρην μᾶζαν ἀντὶ ἄρτου καὶ λαχάνων λάπαθον ἢ μολόχην ἢ πτισάνην ἢ τεῦτλα. πίνειν δὲ κατὰ τὸ σιτίον οἶνον, ὅσον σύμμετρον, καὶ ὑδαρέστερον καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρα καταδράμῃ καὶ οὐρήσῃ. χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσιν.

45. Βρώματα δὲ μάλιστα ἐπισημαίνει· σκόροδον φῦσαν καὶ θέρμην περὶ τὸν θώρηκα καὶ κεφαλῆς βάρος καὶ ἄσην, καὶ εἴ τι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν, παροξύνειεν | ἄν· οὐρητικὸν δέ, καὶ τοῦτ' ἔχει 484
ἀγαθόν· ἄριστον δ' αὐτοῦ φαγεῖν μέλλοντι ἐς πόσιν ἰέναι ἢ μεθύοντι.

46. Τυρὸς δὲ φῦσαν καὶ στεγνότητα καὶ σιτίων ἔξαψιν ποιεῖ· τό τε ὠμὸν καὶ ἄπεπτον· κάκιστον δὲ ἐν ποτῷ φαγεῖν πεπληρωμένοισιν.

47. Ὄσπρια δὲ πάντα φυσώδεα, καὶ ὠμὰ καὶ ἑφθὰ

1 κεῖνοι MV 3 ἁλικὸν M, ἁλυκὸν V ἢ om. MV 5 ἢν om. A 6 ἐῶσιν A, ἐῶσι V πίνειν pro δειπν. MV 7 ἢ (in ras.) μαθήκασιν M μάζαν AV μετ' ἄρτου A 8 περὶ λαχάνων i. m. A λάπαθα MV μαλάχην MV σεῦτλα MV πτισ. καὶ σεῦτλα V 9 περὶ οἴνου i. m. V οἶνον om. A 11 οὐρήσει MV 12 ἑφθοῖσι V 14 φύσαν AV 15 μεμαθηκὼς MV 16 παροξύνειν A τοῦτο MV 17 δὲ MV ante μέλλ. add. ἢ MV 19 φύσαν AMV στεγνώτητα A καὶ ante σιτ. (vulg.) om. AMV 20 ἔφαψιν A τό τε om. MV, τὸ δ' A, τό τ' vulg. δ' ἐν MV 22 καὶ ἑφθὰ (ἐφθὰ V ut solet) καὶ πεφρ. (ἤκ. δὲ om.) καὶ βεβρεγμ. καὶ χλωρά MV

καὶ πεφρυγμένα, ἥκιστα δὲ βεβρεγμένα ἢ χλωρά. τούτοισι δὲ μὴ χρῆσθαι, εἰ μὴ μετὰ σιτίων. ἔχει δὲ καὶ ἰδίας μοχθηρίας ἕκαστον αὐτῶν. ἐρέβινθος μὲν φῦσαν, ⟨καὶ⟩ ὠμὸς καὶ πεφρυγμένος, καὶ πόνον ἐμποιεῖ. φακὸς δὲ στύφει καὶ ἄραδον ἐμποιεῖ, ἢν μετὰ τοῦ φλοιοῦ ᾖ. θέρμος δὲ τούτων ἥκιστα κακὰ ἔχει.

48. Σίλφιον δὲ καὶ ὀπός· ἔστι μὲν οἷσι μάλιστα,
488 τοῖσι δὲ | ἀπείροις οὐ διέρχεται ἡ κοιλίη, ἀλλὰ καλεῖται ξηρὴ χολέρη. μάλιστα δὲ γίνεται, ἢν μετὰ πολλοῦ τυροῦ μειχθῇ ἢ κρεηφαγίης κρεῶν βοείων. τὰ μὲν γὰρ μελαγχολικὰ παροξυνθείη ἂν παθήματα ὑπὸ βοείων κρεῶν. ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτῶν, καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι. βέλτιστα δ' ἂν ἀπαλλάξαιεν, εἰ διέφθοισί τε χρέοιντο καὶ ὡς παλαιοτάτοισιν.

49. Αἴγεια δὲ κρέα ὅσα τε ἐν βοείοις ἔνι κακὰ πάντ'
492 ἔχει [τήν τε | ἀπεψίην] καὶ φυσωδέστερα καὶ ἐρευγματώδεα καὶ χολέρην ποιεῖ. ἔστι δὲ τὰ εὐωδέστατα καὶ ἥδιστα. ταῦτα ἄριστα δίεφθα καὶ ψυχρά· τὰ δ' ἀηδέστερα δυσώδεα καὶ σκληρά. ταῦτα κάκιστα καὶ τὰ πρόσφατα. βέλτιστα δ' ἐστὶ τῇ θερινῇ, μετοπώρου δὲ κάκιστα.

50. Χοίρου δὲ πονηρά, ὅταν ᾖ ἐνωμότερα ἢ περι-

2 ἢν pro εἰ MV 3 φύσαν AMV 4 καὶ ante ὠμὸς add. Erm. 5 τύφει V τοῦ om. MV 6 θερμὸς V ἥκιστα τούτων ἐλάχιστα κακὰ A 7 σιλφίου δὲ καυλὸς καὶ ὀπὸς MV 9 ξηρῇ χολερῇ A, χολερὴ V 10 καὶ (pro ἢ) κρεηφ. V βοείων κρεῶν MV 11 καὶ ante παροξ. add. MV 12 ἀνυπέρβητος MV 13 ἀπαλλάττοιεν MV 14 διεφθοῖσι τὲ V ἀπαλωτάτ. Cor. l. l. p. 64 15 αἴτια pro αἴγεια A ἐν om. MV βοίοις A, mut. A³ in βοείοις, βοΐοις M πάντα MV 16 τήν τε ἀπεψίην (-ψίαν A) glossam esse vidit Littraeus ἀρεγματώδεα A, βρεγματώδεα MV, ἐρευγμ. vulg. 17 ἐμποιέει V εὐωδέστερα A post εὐωδ. add. στερεὰ A 18 δὲ ἀηδέστατα MV 19 ante δυσώδ. add. καὶ MV 20 βέλτιον A δὲ MV τῇ om. MV 21 πονηραὶ M ἦεν ὠμότ. A, mut. A³ in εἶεν ὠμ.

καῇ· χολερώδεα δ' ἂν εἴη καὶ ταρακτικά. ὕεια δὲ βέλτιστα τῶν κρεῶν | πάντων· κράτιστα δὲ τὰ μήτε 494 *ἰσχυρῶς πίονα μήτε λεπτὰ μήτε ἡλικίην παλαιοῦ ἱερείου. ἐσθίειν δὲ ἄνευ τῆς φορίνης καὶ ὑπόψυχρα.*

19 L. 51. *Χολέρης δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται, καὶ ψόφοι ἔνεισι καὶ ὀδύνη πλευρέων καὶ ὀσφύος, διαχωρεῖ δ' οὐδὲν κάτω, ἀλλ' ἀπεστέγνωται. τὸν τοιόνδε διαφύλαξον, ὅπως μὴ ἐμεῖται, ἀλλὰ κοιλίη ὑπελεύσεται. κλύσον οὖν ὅτι τάχιστα θερμῷ καὶ ὡς λιπαρωτάτῳ· καὶ ἐς ὕδωρ ἀλείφων ὡς πλείστῳ κάθιε θερμόν, ἐν σκάφῃ κατακλίνων, καὶ τοῦ θερμοῦ παράχει κατὰ σμικρόν· καὶ ἢν | θερμαινομένῳ αὐτῷ ἡ* 496 *κοιλίη ὑπίῃ, λέλυται. συμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε καὶ πίνειν οἶνον λεπτὸν καὶ παλαιὸν καὶ ἀκρητέστερον. καὶ ἔλαιον δίδου, ἕως ἡσυχῇ [καὶ] ἡ κοιλίη ὑπίῃ, καὶ λέλυται· σίτων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθω. ἢν δὲ μὴ ἀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως καθαρθῇ. ἢν δὲ ὑγρὴ ᾖ ἡ κοιλίη καὶ χολὴ ὑποχωρῇ, καὶ στρόφοι καὶ ἔμετοι καὶ πνιγμοὶ καὶ δηγμοί, τούτοισι δὴ κράτιστον ἀτρεμίζειν· πίνειν δὲ μελίκρητον καὶ μὴ ἐξεμεῖν.*

1 *χολερώτερα* M, *χολερώτατα* V *ἐνῆι* pro *εἴη* A, *ἢ ἔνι* i. m. A^{4} *ἐκταρακτικά* MV *ὄεια* A, *ὕϊα*, i. m. *γρ καὶ ὄϊα* M 4 *φορινῆς* AMV 6 *ἠσί* A, mut. A^{3} in *εἰσί* 7 *διαχωρέῃ* A *δὲ* MV *ἐπεστέγνωται* A 9 *κλῦσον* V *ὅτι τάχος* MV *ὦσαι πορωτάτω* (antea *ωσαι παρωτάτω*) A, *ὡς λιπαρώτατον* MV 10 *λειφῶν* (sic) A *ἐς* (*ὡ* supra) V 11 *σμικρὸν παράχει* pro *π. κ. σ.* A 12 *καὶ* in ras. M 13 *ὑπίῃ* AV, *ὑπείῃ* M *ἐγκοιμίσασθαι* MV 14 *καὶ* ante *ἀκρητ.* om. MV 15 *ὥστε ἡσυχίῃ καὶ ἡ κοιλίῃ* AMV, *ἕως ἂν* pro *ὥστε* Rhd., *καὶ* delevi 16 *ὑπείῃ* M *καὶ* om. V *σιτίων* sine *δὲ* MV 17 *ἀνῇ* vulg., *ἀνείῃ* AMV 18 *ὅπως* pro *ἕως* A *ἡ κοιλίη ᾖ* MV 19 *δυγμοὶ* pro *πνιγμοὶ* A, *καὶ δηγμοὶ* om. MV 20 *δὲ* pro *δὴ* MV 21 *μὴ* ante *ἐξεμ.* om. DK et quaedam *ἀντίγραφα*

20 L. 52. Ὑδρώπων δύο μὲν φύσιες, ὧν ὁ μὲν ὁ 498 ὑπὸ τῇ σαρκὶ | ἐγχειρέων γίνεσθαι ἄφυκτος, ὁ δὲ μετ' ἐμφυσημάτων πολλῆς εὐτυχίης δεόμενος, μάλιστα μὲν ταλαιπωρίης καὶ πυρίης καὶ ἐγκρατείης. ξηρὰ δὲ καὶ δριμέα ἐσθιέτω· οὕτω γὰρ ἂν οὐρητικώτατος εἴη καὶ ἰσχύοι μάλιστα. ἢν δὲ δύσπνοος γένηται καὶ ἡ ὥρη θερινὴ ἐοῦσα τύχῃ καὶ ἡ ἡλικίη ἀκμάζῃ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρεῖν· εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου 500 μέλανος καὶ ἐλαίου | ἀποβάπτων ἐσθιέτω καὶ ὡς ἐλάχιστα πίνων ὡς πλεῖστα πονείτω· καὶ κρέα ὕεια σαρκώδεα ἐσθιέτω ἐξ ὄξους ἐφθά, ὅπως πρὸς τοὺς ἀνάντεας περιπάτους ἀντέχῃ.

21 L. 53. Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι καὶ δριμέα τὰ ὑποχωρήματα καὶ ἀνώμαλα διέρχεται ὑπὸ συντήξιος αὐτοῖς, ἢν μὲν δυνατοὶ ἔωσιν, ἀντισπάσαι ἐλλεβόρῳ· ἢν δὲ μή, ὁ χυλὸς τῶν σητανίων πυρῶν, παχύς, ψυχρὸς καὶ τὸ φάκινον ἔτνος καὶ ἄρτοι ἐγκρυφίαι καὶ ἰχθύες πυρέσσοντι μὲν ἐφθοί, ἀπυρέτῳ δὲ ἐόντι ὀπτοί· καὶ οἶνος μέλας ἀπυρέτῳ, εἰ δὲ μή, ὕδωρ ἀπὸ μεσπίλων ἢ μύρτων ἢ οὔων ἢ μήλων ἢ φοίνικος βαλάνων ἢ οἰνάνθης ἀμπέλου. ἢν δὲ

Galeni memoria 1 μὲν om. MV ὁ post ὧν om. A¹, add. A³ ὁ μὲν ὑποσαρκίδιος MV 3 δὲ pro μὲν MV 4 ταλεπωρίη καὶ πυρίη καὶ ἐγκρατίη A, ὑπὸ ταλαιπωρίης (κ. πυρ. om.) καὶ ἐγκρατείης MV 5 οὐρ. ἂν MV 6 ἢ pro γένηται MV 7 ἐαρινὴ pro θερινὴ MV ἡ ante ἡλικίη om. MV ante ἀκμάζῃ add. ἅμα MV post ἀκμ. add. καὶ ῥώμη ἢ MV 8 βραχίωνος A 10 ὕϊα M 11 ἐξόδους ὀπτὰ MV ἐφθὰ A πρὸς τοὺς om. V 12 ἀνάντεις A, προσάντεας MV ἀντέχει mut. al. m. in ἀντέχῃ A 15 ἀπὸ pro ὑπὸ V ἐῶσιν AV ἀντισπᾶσαι A¹, al. m. ἀντίσπασαι 16 ἐλλεβόρρῳ τῷ λευκῷ ἀντισπᾶσαι MV εἰ pro ἢν S' ὁ om. A σιτανίων M, -νείων V, σητανείων A¹, mut. A⁴ in σητανίων 18 ἐφθοὶ V 19 ἐόντι om. A 20 μεσπείλ. M ἢ μήλων ἢ οὔων MV 21 φοινικοβαλάνων MV

πυρετὸς ἔχῃ καὶ στρόφοι ἔωσι, γάλα ὄνειον | θερμὸν 502
ὀλίγον τὸ πρῶτον, ἔπειτα δὲ ἐκ προσαγωγῆς πλεῖον καὶ λίνου σπέρμα καὶ πύρινα ἄλφιτα καὶ τῶν Αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρά, καταλέσας, ἐπιπάσσων πινέτω ἢ ᾠὰ ἡμιπαγέα ἐσθιέτω ὀπτὰ καὶ σεμίδαλιν καὶ κέγχρον καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι· ἑφθὰ ψυχρὰ ἐσθίειν. καὶ τὰ τούτοις ὁμοῖα καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω.

22 L. 54. *Τῆς διαιτητικῆς ἐστι μέγιστον παρατηρεῖν καὶ παραφυλάσσειν ἐν τοῖσι μακροῖσιν ἀρρωστήμασι καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν καὶ τὰς ἀνέσιας, ὥστε τοὺς καιροὺς διαπεφυλάχθαι, ὁπότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν, καὶ ἀσφαλέως ὁπότε δεῖ προσενεγκεῖν εἰδέναι. ἔστι δ᾽ ὅταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσιος.*

23 L. 55. *Εἰδέναι δὲ τοὺς κεφαλαλγικοὺς ἐκ* 506
γυμνασίων ἢ δρόμων ἢ πορειῶν ἢ κυνηγίων ἢ ἄλλου τευ πόνου ἀκαίρου ἢ ἐξ ἀφροδισίων, τοὺς ἀχρόους, τοὺς βραγχαλέους, τοὺς σπληνώδεας, τοὺς λειφαίμους, τοὺς πνευματώδεας καὶ ξηρὰ βήσσοντας καὶ διψώδεας, τοὺς φυσώδεας, φλεβῶν ἀπολήψιας, ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον, τοὺς ἀποναρκω-

1 *ἔχοι* A *πυρετός τε μὴ ἔχῃ* MV *ἔχωσι* pro *ἔωσι* A *βόειον* MV 1. 2 *ὀλ. θερμ.* A 2 *δὲ* om. MV 3 *λινόσπερμα* A 5 *ᾠιοὺ* M *ὀπτῶν* MV *σεμιδάλιν* M 6 *ἐφθὸν* AV *ἐφθὰ* AV 8 *ἑδέσματα* V 10 *φυλάσσειν* MV ante *ἐν* add. *ὥσπερ ἐν τοῖς ὀξέσι καὶ* MV *τοῖς* MV 11 *ἐπιστάσιας* M, *ἐπιστάσηας* V 13 *ὁκόταν δέῃ* MV 14 *ἔστι δ᾽ ὅτ᾽ ἂν τί πλεῖστον ἀπέχουσι τῆς ἀποστάσιος* A, *ἔτι δὲ ὁκόταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσιος* M, *ἔτι δὲ ὁκόταν πλ. ἀπέχωσι τῆς ἐπιστάσηος* V 16 *δὲ* om. A, eius loco rasura 17 *πορiῶν* M *κυνηγεσίων* MV 18 *τοῦ* (scripsi *τευ*) A, *τινὸς* MV *δρόμου* pro *πόνου* A 19 *τοὺς* ante *σπλην.* om. MV *αἰ*(ss. *ε* ead. m.)*φαίμους* M, *ἐφαίμους* V

μένους καὶ ἀμαυρὰ βλέποντας καὶ οἷς ἦχοι τῶν ὤτων ἐμπίπτουσιν καὶ τῆς οὐρήθρης ἀκρατέως διακειμένους, τοὺς ἰκτεριώδεας καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσιν |
508 *ἢ αἱμορραγέοντας ἐκ ῥινὸς ἢ καθ' ἕδρην σφοδρῶς, ἢν ἐν ἐμφυσήμασιν ἔωσιν ἢ πόνος αὐτοῖς ἐπιτρέχῃ σφοδρὸς καὶ μὴ ἐπικρατέωσιν· τῶν τοιῶνδε μηδένα φαρμακεύειν. κίνδυνόν τε γὰρ ἕξει καὶ οὐδὲν ὠφελήσεις τάς τε ἀπὸ τοῦ αὐτομάτου κρίσιας ἀφαιρήσεις.*

24 L. 56. *Ἢν δὲ αἷμά τινι συμφέρῃ ἀφαιρεῖν, στερεὴν πρότερον ποιεῖν τὴν κοιλίην καὶ οὕτως ἀφαιρεῖν καὶ λιμοκτονεῖν καὶ οἶνον ἀφαιρεῖν αὐτοῦ. ἔπειτα τῇ διαίτῃ τὰ ἐπίλοιπα αὐτὸν καὶ πυριῇσιν ἐνίκμοισι* |
510 *θεράπευε. ἢν δέ σοι κατάπυκνος ἡ κοιλίη δοκῇ εἶναι, μαλθακῷ κλύσματι ὑπόκλυζε.*

25 L. 57. *Ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως ἄνω κάθαιρε· κάτω δὲ μηδενὶ τῶν τοιῶνδε. κράτιστον δὲ ἐς οὔρησιν καὶ ἐς ἱδρῶτας καὶ ἐς περιπάτους ἄγειν. καὶ τρίψει ἡσύχῳ χρέω, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν· ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβόντων αὐτόν. καὶ ἢν μὲν ἐν τῷ θώρηκι ὑπὲρ τῶν φρενῶν λυπῇ τὸ πάθος, ἀνακαθιζέτω ὡς πλειστάκις, [καὶ ὡς ἥκιστα προσκλινέσθωσαν, ἐς ὅ τι δυνατοί εἰσιν·] καὶ*

1 *οὐάτων* MV   3 *ἰκτερώδεας* MV   4. 5 *ἢν ἐν φυσήμασιν* A, *ἢ ἐμφυσήμασιν* MV   *ἐῶσιν* AMV   *ἐπιτρέχει* AMV, -*ῃ* vulg. *σφοδρῶς* (ο *supra*) M, *σφοδρῶς* A   7 *κίνδυνοί* A   *ἕξεις* MV, *ὀξέες* pro *ἕξει* A   *ὀνήσεις* MV   10 *στερέειν* A   *πρότερον . . . ἀφαιρεῖν* om. A   11 *αὐτῶν* A, *αὐτέων* MV, *αὐτοῦ* Rhd. 12 *αὐτῶν* A, *αὐτέων* MV, *αὐτὸν* Rhd.   *πυρίην* A   *ἐν ἰκμοῖσι* A et i. m. *ἢ πυριῆν ἐν ἡκμῇ* (α *supra*) A³   13 *δοκέει* A   16 *κάθαιρε* (αι *supra*) A   *μὴ δενὶ* A   17 *κράτιστα δ' ἐς* MV   18 *χρέο* M   19 *τριβέτωσαν* MV   20 *αὐτῶν* pro *αὐτὸν* A   *κἢν* MV   21 *αὐτὸν ἀνακαθίζειν* MV   *καὶ ὡς ἡκ. — δυνατοί εἰσιν* delevi

καθίζοντα ἀνατριβόντων πουλὺν χρόνον θερμῷ πολλῷ· ἢν δ' ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἴσχῃ τὰ ἀλγήματα, ἀνακεῖσθαι συμφέρει καὶ μηδεμίαν κίνησιν κινεῖσθαι. τῷ τοιῷδε | σώματι μηδὲν προσφέρεσθαι ἔξω 512 *τῆς ἀνατρίψιος. τὰ δ' ἐκ τῆς κάτω κοιλίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλίσθῃ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται, τὰ σμικρά. τὰ σφοδρὰ δὲ πονηρόν· οἱ τοιοίδε γὰρ ἢ ἀπόλλυνται ἢ ἄνευ ἄλλων κακῶν οὐ γίνονται ὑγιέες, ἀλλ' ἀποστηρίζει καὶ τὰ τοιουτότροπα.*

26 L. 58. *Πόμα ὑδρωπιῶντι· κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν καὶ πόδας ἑκάστης καὶ πτερά, τρίψας ἐν τρισὶ κυάθοισιν ὕδατος τὰ σώματα· ὅταν δὲ πονῇ ὁ πιών, θερμῷ βρεχέσθω ὑπαλειψάμενος πρότερον· νῆστις δὲ πινέτω· ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀλείφατος.*

59. *Ἴσχαιμον· ὀπὸν συκῆς ἐν εἰρίῳ προσθεῖναι* 514 *ἔσω πρὸς τὴν φλέβα ἢ πυτίην συστρέψαντα βῦσαι ἐς τὸν μυκτῆρα ἢ χαλκίτιδος τῷ δακτύλῳ ἐπισπασάμενος ⟨προσ⟩πίεσον καὶ τοὺς χόνδρους ἔξωθεν προσπίεζε ἑκατέρωθεν. καὶ τὴν κοιλίην λῦσον ὄνου γάλακτι ἑφθῷ καὶ τὴν κεφαλὴν ξυρῶν ψυκτικὰ πρόσφερε, ἢν ἐν ὥρῃ θερμῇ γίνηται.*

1 post *ἀνατριβ.* add. *μίν* MV *πολλῷ θερμῷ* MV 2 *δὲ* MV *ἔχῃ.* A, *ἴσχει* M 3 *μηδὲ μίαν* A, *μὴ δὲ μίην* V, *μηδὲ* bis M *κινέεσθαι* M 4 ante *σώμ.* add. *τῷ* Rhd. *μὴ δὲν* A *ξυμφέρει* pro *μηδὲν προσφ.* MV 5 *δὲ* MV 7 *τὰ* ante *σφοδρὰ* om. A 11 *ἑκάστης* post *κεφαλὴν* MV 13 *ὄπιον* A,· mut. A[3] in *ὁ πιὼν* 14 ante *πρότερον* add. *δὲ* MV *δὲ* ante *πινέτω* om. M 15 *ἀλίφατος* A 16 ante *ἴσχαιμον* add. *περὶ πρὸς τὴν ἐκ ῥινῶν αἱμορραγγίαν* A 17 *πιτύην* AV *βύσαι* A, *ἐμβύσαι* M, *ἐμβῦσαι* V 18 *προσεπισπασάμενος* MV 19 *πίεσον* libri, *προσπ.* Rhd. *προσπιέζειν* MV 20 *τὴν* ante *κοιλίην* om. MV *λύσον* AM *ἑφθῶ* AV 21 *στυπτικὰ* A 22 *γένηται* A

60. *Σησαμοειδὲς ἄνω καθαίρει· ἡ πόσις, ἡμιόλιον
δραγμῆς σταθμὸν ἐν ὀξυμέλιτι τετριμμένον. συμμίσγε-
516 ται δὲ καὶ τοῖ|σιν ἐλλεβόροισιν, καὶ ἧσσον πνίγει, τὸ
τρίτον μέρος τῆς πόσιος.*

29 L. 61. *Τριχώσιος· ὑποθεὶς τὸ ῥάμμα τῇ βελόνῃ τῇ τὸ κύαρ ἐχούσῃ κατὰ τὸ ὀξὺ τῆς ἄνω τάσιος τοῦ βλεφάρου ἐς τὸ κάτω διακεντήσας δίες, καὶ ἄλλο ὑποκάτω τούτου· ἀνατείνας δὲ τὰ ῥάμματα ῥάψον, καὶ κατάδησον, ἕως ἂν ἀποπέσῃ. κἢν μὲν ἱκανῶς ἔχῃ· εἰ δὲ μή, ἢν ἐλλείπῃ, ὀπίσω ποιεῖν τὸ αὐτό.*

62. *Καὶ τὰς αἱμορροΐδας τὸν αὐτὸν τρόπον· τῇ
βελόνῃ διώσας ὡς παχύτατον εἰρίου οἰσυπηροῦ ῥάμμα
καὶ ὡς μέγιστον ἀποδήσεις· ἀσφαλεστέρη γὰρ γίνεται
ἡ θεραπείη. εἶτα ἀποπιέσας τῷ σηπτῷ χρέω καὶ μὴ
βρέχε, πρὶν ἀποπέσῃ· καὶ αἰεὶ μίαν καταλίμπανε. καὶ
μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι. εἶτα γυμναζέσθω
καὶ ἀφιδρούτω· γυμνασίου δὲ τρίψις, πάλη ἀπὸ ὀρθοῦ·
δρόμου δὲ ἀπεχέσθω καὶ μέθης καὶ τῶν δριμέων ἔξω
ὀριγάνου. ἐμείτω δὲ δι' ἑπτὰ ἡμερέων ἢ τρὶς ἐν τῷ
518 μηνί· οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ | σῶμα. οἶνον δὲ
κιρρὸν αὐστηρὸν ὑδαρέα, καὶ ὀλίγον τὸ ποτὸν πινέτω.*

2 *δραχμῆς* M *σταθμὸν* scripsi, *σταθμὸς* A, *ὁ σταθμὸς* MV *τετριμμένος* MV *συνσμίγεται* A 3 *ἐλεβόρ.* AV 5 *ὑποθείστω* (*-θείσθω* al. m.) *ῥάμματι βελόνη* A 6 *κῦαρ* A 7 *ἄνω* pro *κάτω* A *εἶναι δ'* pro *καὶ* A 9 *κατάδει* MV *ὑποπέσῃ* MV, *ἀποπέσει* [οι] A 10 *ἐλλίπῃ* M *τὰ αὐτὰ* MV 11. 12 *διώσεις τῇ βελ.* MV, *τῇ βέλτιον ἡδίως εἴσως παχ.* A, *διώσας* Rhd. 12 *οἰσυπηροῦ* A^1, mut. in *ὑσυπηροῦ* A^4, *εἰς ὑπηροῦ* M, *ἐς ὑπ.* V 13 *ἀποδήσας* MV *ἀσφαλεστάτη* A 14 *εἶτ'* A *χρῶ* A 16 *ἐλλεβόρ.* A *εἶτ' ἀγυμν.* A 17 *τε* pro *δὲ* MV *πολλὴ* pro *πάλη* MV *ὄρθου* MV 19 *δι'* om. MV *τρεὶς* AM 21 post *ὑδαρ.* add. *τε* MV *τὸ ποτὸν* om. MV

63. *Τοῖσι δ' ἐμπύοισι σκίλλης καταταμὼν κυκλίσκους ἕψε ἐν ὕδατι, καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον, καὶ ἐπιχέας ἄλλο ἕψε, ἕως ἂν ἁπτομένῳ δίεφθον καὶ μαλθακὸν φανῇ· εἶτα τρίψας λεῖον σύμμισγε κύμινον πεφρυγμένον καὶ λευκὰ σήσαμα καὶ ἀμυγδάλας λείας, τρίψας ἐν μέλιτι ἐκλεικτὸν δίδου καὶ ἐπὶ τούτῳ γλυκύν· ῥυφήματα δέ, μήκωνος τῆς λευκῆς ὑποτρίψας ὅσον λεκίσκιον, ὕδατι διείς, ἢ σητανίου πλύματι ἀλεύρου ἑψήσας, μέλι ἐπιχέας, χλιαρὸν ἐπιρρυφέων, οὕτω διαγέτω τὴν ἡμέρην· εἶτα ἐς τὰ ἀποβαίνοντα λογιζόμενος τὸ δεῖπνον δίδου.*

64. *Δυσεντερίης· κυάμων καθαρῶν τεταρτημόριον καὶ* | *ἐρυθροδάνου δώδεκα κάρφεα λεῖα συμμείξαντα* 520 *καὶ ἑψήσαντα λιπαρὸν διδόναι ἐκλείχειν.*

65. *Ὀφθαλμῶν· σποδὸς πεπλυμένη, λιπαρῷ πεφυρημένη, ὡς σταῖς μὴ ὑγρόν, λεῖον τρίψας, ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἀνυγρήνας, ἐν ἡλίῳ ἀναξηρήνας, ὑγραίνειν ὡς ἐνάλειπτον· ὅταν δ' αὖτις ξηρὸν γένηται, λείῳ τετριμμένῳ ξηρῷ ὑπόχριε καὶ παράπασσε τοὺς κανθούς.*

66. *Ὑγρόν· ἐβένου δραχμὴν ἐπ' ἀκόνης τρίβων,*

1 *δὲ* MV *σκύλλης* M 2 *ἑψεῖν ὕδ.* MV, *ἔφε ἐν ὕδ.* A *ἀπόχεον* mut. al. m. in *ἀποχέων* A 3 *ἕψὲ ἕως* A, *ἕψεε ὡς* M, *ἕψεαι ἕως* V *ἀναπτομένω* pro *ἂν ἅπτ.* V 5 *νέας* MV pro *λείας* 6 *ὕδατι* pro *μέλιτι* A *ἐλλικτὸν* MV, *ἐλλ.* A 7 *λείης* pro *λευκῆς* A 8 *λευκίσκιον* A *ἢ* om. MV *σητανίω* A 9 *ἐψήσας* AV *χλιερὸν* A, *α* ss. A[3], *χλιηρὸν* MV *ἐπιρυφῶν* A 13 *δυοκαίδεκα* MV *καρφεάλια* MV 14 *ἐψήσαντα* AV *ἐλλείχειν* AV, *ἐλλίχειν* M 15 *λιπαρῶς* MV *περιμένη* A 16 *ὡσταῖς* A, *ὡς στέαρ* MV 17 *τῆς* om. MV *ἀν ὑγρήνας* A *ξηρήνας* A, *ἀναξηράνας* M 18 *δὲ* sine *αὖτις* MV, *δ' αὐτῆς* A, *δ' αὖθις* Rhd. 19 *ὑπάλειφε* pro *ὑπόχριε* MV 21 *δραχμὴν* MV *μίαν* post *δραγμὴν* add. A *δραχμ.* (-*γμ.* A), *χαλκ. κεκ. ἐ. ὀβ. ἐπ' ἀκ. τρ.* libri, transpos. Erm.

χαλκοῦ κεκαυμένου ἐννέα ὀβολούς, κρόκου τριώβολον· ταῦτα τρίψας λεῖα, παράχει οἴνου γλυκέος κοτύλην Ἀττικήν, κἄπειτα ἐς τὸν ἥλιον θείς, κατακαλύψας, ὅταν συνεψηθῇ τούτῳ χρέω.

522 67. *Πρὸς τὰς περιωδυνίας καὶ τὰ ῥεύματα· ἔστω χαλκίτιδος δραχμή, σταφυλῆς, ὅταν δυσὶν ἡμέρῃσι πεφθῇ, ἐκπιέσας, σμύρναν καὶ κρόκον τρίψας καὶ συμμείξας τὸ γλεῦκος, ἕψησον ἐν τῷ ἡλίῳ, καὶ τούτῳ ὑπάλειφε τοὺς περιωδυνέοντας· ἔστω δὲ ἐν χαλκῷ ἀγγείῳ.*

68. *Ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις· πιέσαι τοῖσι τρισὶ δακτύλοισι· κἢν αἴσθηται, ταῦτα ὑστερικά ἐστιν· ἢν δὲ μή, σπασμώδεα.*

69. *Τοῖσιν ὑπνωτικοῖσι μηκωνίου λεκίσκιον Ἀττικὸν στρογγύλον πόσις.*

524 70. *Λεπίδος μῆλαι τρεῖς τῷ πλάτει καὶ ἀλήτου σητανίου κόλλης, πάντα ταῦτα λεῖα τρίψας, καταπότια ποιήσας δίδου· κάτω ὕδωρ καθαίρει.*

71. *Κοιλίην ἐκκοπροῖ· ἐς ἰσχάδια τοῦ τιθυμάλλου ἀπόσταξε ὅσον ἑπτάκις ἐς ἕκαστον, καὶ παιδίοισιν, εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι· δίδου πρὸ τῶν σιτίων.*

1 *κόκκου* V 4 *χρέο* M punctum post *χρέω* om. V 6 *δραχμὴ* MV *ὅτ' ἂν* V *ὁκόταν δύο μέρεα λειφθῇ* MV 7 alt. *καὶ* om. MV 8 *ἕψησον* MV *τοῦτο* A 9 *περιωδυνέωντας* A 10 *πνιγομένης* mut. in *-μέναις* A 11 *τρισὶ* om. V, *δυσὶ* M *δακτοίλοισι* A *τὰ* pro *ταῦτα* MV 13 *ὑδρωπιώδεσι(ν* M) pro *ὑπν.* MV *μηκώνιον* MV 15 *μηλαὶ* MV *ἀλέτου* MV, *ἄλλη τοῦ* A 16 *σητανείου* AV *κολλήσαντα ταῦτα* MV, *κόλλης πάντα αὐτὰ ταῦτα* A *λεῖα* om. A *καταποτὰ* MV 17 *ποιήσας* om. M, *ξυστρέψας* pro *ποιήσας* V 18 *ἰσχάδα* AMV, unde dedi *ἰσχάδια* post *ἰσχ.* add. *ὀποῦ* MV *τιθυμάλου* V 20 *κενὸν* V, *κενὸν* (*αι* ss. al. m.) A *συντιθεὶς* A

72. *Καὶ τὸ μηκώνιον τρίβων, ὕδωρ ἐπιχέων καὶ διη|θέων, ἄλευρον φυρῶν, ἴτριον ὀπτῶν, μέλι ἑφθὸν* 528 *παραχέων, τοῖς ὑδρωπικοῖσιν τρώγειν δίδου καὶ ἐπιπίνειν γλυκὺν ὑδαρέα ἢ μελίκρητον ὑδαρές [, τὸ ἀπὸ τῶν κηρίων]. ἢ μηκώνιον συλλέγων ταμιεύου, καὶ θεράπευε.*

1 *καὶ* ante *διηθ.* om. MV 2 *φυρεωνιτρίου* A, mut. A³ in *φυρέων νιτρίου* *ἰτρίον* MV, *ἴτριον* R′ *ἑφθὸν* AV 4. 5 *τ. ἀ. τ. κ.* interpretationem praecedentis vocabuli esse vidit Erm. 5 *κοπρίων* pro *κηρίων* MV *ἢ* om. MV 6 post *θεράπ.* add. *παρέδωκα τοίνυν τὰ τελευταῖα τοῦ λόγου: τοῦ περὶ πτισάνης τὲ καὶ τῶν ὁμοίων τούτου: ~ μιχαὴλ καλλιγραφεὺς ὁ τὰ πάντα συνγραψας: καὶ εἴ τις ἀναγνῶτο εὔχεσθαι ὑπὲρ ἐμοῦ τοῦ ἁμαρτωλοῦ* A (cf. prolegomena p. VIII), *Ἱπποκράτους περὶ διαίτης ὀξέων, πτισάνης, πρὸς τὰς κνιδίας γνώμας* MV

ΕΠΙΔΗΜΙΩΝ Α.

[*κατάστασις πρώτη.*]

II 598 L. 1. *Ἐν Θάσῳ φθινοπώρου περὶ ἰσημερίην καὶ ὑπὸ πληϊάδα ὕδατα πολλά, συνεχέα μαλακῶς, ἐν νοτίοις. χειμὼν νότιος, σμικρὰ βόρεια, αὐχμοί· τὸ σύνολον ἔς γε χειμῶνα οἷον ἔαρ γίνεται. ἔαρ δὲ νότιον ψυχεινόν, σμικρὰ ὕσματα. θέρος ὡς ἐπὶ τὸ πολὺ ἐπινέφελον. ἀνυδρίαι. ἐτησίαι ὀλίγα, σμικρά, διεσπασμένως ἔπνευσαν.*

Γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια καὶ μετ᾽ αὐχμῶν, πρωὶ μὲν τοῦ ἦρος ἐκ τῆς πρόσθεν καταστάσιος ὑπεναντίης καὶ βορείου γενομένης ὀλίγοις
600 *ἐγίνοντο | καῦσοι καὶ τούτοισι πάνυ εὐσταθέες, καὶ ὀλίγοις ἡμορράγει οὐδ᾽ ἀπέθνησκον ἐκ τούτων. ἐπάρματα δὲ παρὰ τὰ ὦτα πολλοῖσιν ἑτερόρροπα καὶ ἐξ ἀμφοτέρων, τοῖσι πλείστοισιν ἀπύροισιν ὀρθοστάδην· ἔστι δὲ οἳ καὶ σμικρὰ ἐπεθερμαίνοντο. κατέσβη πᾶσιν*

1 *ἐπιδημίαι Ἱπποκράτους α.* et infra *Ἱπποκράτους ἐπιδημιῶν* A, *Ἐπιδημιῶν πρῶτον* V 2 *κατάστασις πρώτη* vulg., om. libri 4 *πλιάδα* A, mut. A[4] in *πληιάδα* *μαλθακὰ ὡς ἐν νοτίοισι* V, *νοτίοις* A 5 *νότος* A, *ι* adscr. A[2] *βόρια* A *ἢ* pro *ἐς* (vulg. *εἰς*) AV 6 *ἦρ* ubique V *νοτινὸν καὶ ψ.* A *ψυχινὸν* A 7 *θέρεος* A *ἐπὶ* om. V 8 *διεσπαρμένως* A 10 distinctionis auctor Ilbergius, idem 183, 19 et 184, 17

11 *μετὰ* V 12 *βορίου γινομένης* A 13 *εὐσταθεῖ* A, *ς* ss. A[2], *εὐσταθῆ* V 16 *ἀπείροισι* A, *ν* add. A[3] 17 *οἷς* V, *οἳ* A, mut. A[2] in *οἷς* *καὶ* om. V

ἀσινέως οὐδ' ἐξεπύησεν οὐδενὶ ὥσπερ τὰ ἐξ ἄλλων προφασίων. ἦν δὲ ὁ τρόπος αὐ|τῶν χαῦνα, μεγάλα, 602
κεχυμένα, οὐ μετὰ φλεγμονῆς, ἀνώδυνα· πᾶσιν ἀσήμως ἠφανίσθη. ἐγίνετο δὲ ταῦτα μειρακίοισι, νέοισιν, ἀκμάζουσι, καὶ τούτων τοῖσι περὶ παλαίστρην καὶ γυμνάσια πλείστοισι· γυναιξὶ δὲ ὀλίγῃσιν ἐγίνετο. πολλοῖσι δὲ βῆχες ξηραὶ βήσσουσι καὶ οὐδὲν ἀνάγουσιν· φωναὶ βραγχώδεες. οὐ μετὰ πολύ, τοῖσι δὲ καὶ μετὰ χρόνον, φλεγμοναὶ μετ' ὀδύνης ἐς ὄρχιν ἑτερόρροποι, τοῖσι δὲ ἐς ἀμφοτέρους. πυρε|τοὶ τοῖσι μέν, τοῖσι δ' οὔ. ἐπι- 604
πόνως ταῦτα τοῖσι πλείστοισι. τὰ δ' ἄλλα ὅσα κατ' ἰητρεῖον ἀνόσως διῆγον.

2. Πρωὶ δὲ τοῦ θέρεος ἀρξάμενοι διὰ θέρεος καὶ κατὰ χειμῶνα πολλοὶ τῶν ἤδη πολὺν χρόνον ὑποφερομένων φθινώδεες κατεκλίνησαν, ἐπεὶ καὶ τοῖς ἐνδοιαστῶς ἔχουσι πολλοῖσιν ἐβεβαίωσε τότε. ἔστι δ' οἷσιν ἤρξατο πρῶτον τότε, οἷσιν ἔρρεπεν ἡ φύσις ἐπὶ τὸ φθι|νῶδες. ἀπέθανον δὲ πολλοὶ καὶ πλεῖστοι τούτων, 606
καὶ τῶν κατακλινέντων οὐκ οἶδα εἴ τις οὐδ' εἰ μέτριον χρόνον περιεγένετο. ἀπέθνῃσκον δὲ ὀξυτέρως ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτα· ὡς τά γε ἄλλα καὶ μακρότερα καὶ ἐν πυρετοῖσιν ἐόντα εὐφόρως ἤνεγκαν καὶ οὐκ ἀπέθνῃσκον, περὶ ὧν γεγράψεται. μοῦνον γὰρ καὶ μέγιστον τῶν γενομένων νοσημάτων τοὺς πολλοὺς τὸ φθινῶδες ἔκτεινεν.

2 δὲ om. A 4 ἐγέν. V μειρακείοισι A μειρακίοισιν ἐοῦσιν ἀκμ. V 6 πλείστοισι pro πολλ. V 9 ἑτερόρροπα A (-οι Erm.), ἑτερρορόπα V ut saepius, ἕτερον Gal. comm. 10 ἐς om. A ἀμφοτέροισι A οὗ V 12 ἰητρίον V 15 κατεκλίθησαν V τοῖσιν V ἐνδοι(υ A[1], mut. A[4] in οι)άστως AV 16 ἔχουσιν A ἐβαιβέωσε A τοῦτο V 17 τουτέοισιν pro τότε οἷσιν V 19 κατακλιθέντων V οἶδ' εἴ τις καὶ μέτρ. V 20 διεγένετο V 22 καὶ ante ἐν om. AV, add. Littré ex R' et Gal.

Ἦν δὲ τοῖς πλείστοισιν αὐτῶν τὰ παθήματα τοιάδε·
608 *φρικώδεες πυρετοί, συνεχέες, ὀξέες, τὸ μὲν ὅλον | οὐ*
διαλείποντες· ὁ δὲ τρόπος ἡμιτριταῖος· μίαν κουφό-
τεροι, τῇ ἑτέρῃ παροξυνόμενοι, καὶ τὸ ὅλον ἐπὶ τὸ
ὀξύτερον ἐπιδιδόντες. ἱδρῶτες αἰεί, οὐ δι᾽ ὅλου· ψύξις
ἀκρέων πολλὴ καὶ μόγις ἀναθερμαινόμενα. κοιλίαι
ταραχώδεες χολώδεσιν, ὀλίγοις, ἀκρήτοισι, λεπτοῖσι,
δακνώδεσι· πυκνὰ ἀνίσταντο. οὖρα ἢ λεπτὰ καὶ ἄχρω
καὶ ἄπεπτα καὶ ὀλίγα ἢ πάχος ἔχοντα καὶ σμικρὴν
ὑπόστασιν, οὐ καλῶς καθιστάμενα, ἀλλ᾽ ὠμῇ τινι καὶ
ἀκαίρῳ ὑποστάσει. ἔβησσον δὲ σμικρά, πυκνά, πέπονα,
κατ᾽ ὀλίγα μόγις ἀνάγοντες· οἷσι δὲ τὰ βιαιότατα
συμπίπτοι, οὐδ᾽ ἐς ὀλίγον πεπασμὸν ᾔει, ἀλλὰ διετέ-
λεον ὠμὰ πτύοντες. φάρυγγες δὲ τοῖσι πλείστοισι
τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος ἐπώδυνοι· εἶχον ἔρευ-
θος μετὰ φλεγμονῆς· ῥεύματα σμικρά, λεπτά, δριμέα·
ταχὺ τηκόμενοι καὶ κακούμενοι, ἀπόσιτοι πάντων γευ-
610 *μάτων διὰ τέλεος, ἄδιψοι· καὶ | παράληροι πολλοὶ*
περὶ θάνατον. περὶ μὲν τὰ φθινώδεα ταῦτα.

3. *Κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον πυρετοὶ πολλοὶ συνεχέες οὐ βιαίως, μακρὰ δὲ νοσέουσιν οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως διάγουσιν ἐγένοντο· κοιλίαι*

1 *περὶ ἡμιτριταίου* A i. tit., V i. m. *τοῖσι* V *αὔτωον* mut. A[3] in *αὔτωων* *τοιάδε* om. A 2 *ὀξέες* om. A 3 ante *μίαν* add. *ἢ* A *κουφοτέρην* AV, *-οι* Littr. ex HK 4 post *τῇ* add. *δ᾽* V *ἐπιπαροξ.* V 5 ante *αἰεὶ* add. *δὲ* V 6 *ἀκραίων* mut. A[4] ut solet in *ἀκρέων* *μόλις θερμαιν.* V 8 *δακνῶδες* A mutatum in *δακνώδεσι* *ἄχρωα* A, *ἄχρο(ι m. 2)α* V 9 *καὶ ἄπεπτα* om. A *καὶ* ante *ὀλ.* om. V 10 *ἄλλωμή* V 12 *καὶ κατολίγα* A *βι^{αι}οτατα* A 13 *συμπίπτει* A *ἠ εἰ* A, *ἴη* V 15 *διατέλεος* A ut saepe *ἐπώδυνοι·* A, *ἐπώδυνον* V 19 *μὲν* ss. V[2] 20 *θέρεος* A 21 post *πολλοὶ* add. *καὶ* V *βίαιοι* V 22 *ἐγίνετο* V

τε γὰρ τοῖσι πλείστοισι πάνυ εὐφόρως καὶ οὐδὲν ἄξιον λόγου προσέβλαπτον. οὖρά τε τοῖσι πλείστοισιν εὔχρω μὲν καὶ καθαρά, λεπτὰ δὲ καὶ μετὰ χρόνον περὶ κρίσιν πεπαινόμενα. βηχώδεες οὐ λίην. οὐδὲ τὰ βησσόμενα δυσκόλως· οὐδ' ἀπόσιτοι, ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. τὸ μὲν ὅλον ὑπενόσεον [οἱ φθίνοντες] οὐ τὸν φθινώδεα | τρόπον πυρετοῖσι φρικώδεσι, σμικρὰ ὑφι- 612
δροῦντες. ἄλλοτε ἀλλοίως παροξυνόμενοι πεπλανημένως [τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, παροξυνόμενοι δὲ τριταιοφυέα τρόπον]. ἔκρινε τούτων, οἷσι τὰ βραχύτατα γίνοιτο, περὶ εἰκοστήν, τοῖσι δὲ πλείστοισι περὶ τεσσαρακοστήν, πολλοῖσι δὲ περὶ τὰς ὀγδοήκοντα. ἔστι δ' οἷσιν οὐδ' οὕτως, ἀλλὰ πεπλανημένως καὶ ἀκρίτως ἐξέλιπον· τούτων δὲ τοῖσι πλείστοισιν οὐ πολὺν διαλιπόντες χρόνον ὑπέστρεψαν οἱ πυρετοὶ πάλιν, ἐκ δὲ τῶν ὑποστροφέων ἐν τῇσιν αὐτῇσι περιόδοισιν ἐκρίνοντο· πολλοῖσι δὲ αὐτ|ῶν ἀνήγαγον, ὥστε καὶ ὑπὸ χειμῶνα 614
νοσεῖν.

Ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ μούνοισι τοῖσι φθινώδεσι θανατώδεα συνέπεσεν· ἐπεὶ τοῖσί γε ἄλλοισι πᾶσιν εὐφόρως, καὶ θανατώδεες ἐν τοῖσιν ἄλλοισι πυρετοῖσιν οὐκ ἐγένοντο.

1 ταραχώδεες pro γὰρ V 2 δὲ A εὔχροα codd. 4 παιπενόμενα emend. A[4] 6 οἱ φθ. (φθινέοντες V, φθινώδεες vulg.) delevi cf. Herm. XXVI 306 7 ἐφιδρ. V 8 ἄλλοι ὡς V 9 τὸ μὲν ὅλον — τρόπον delevi: ex cap. 7 (p. 186, 19) huc illata videntur esse 10 post ἔκρ. add. δὲ V βαρύτατα ἐγίνετο A 11 post εἰκ. add. ἡμέρην V δὲ post πλείστ. A τεσμ̄ A 13 post ἀλλὰ add. καὶ V 14 τοὺς πλείστους V διαλείποντες AV, -λιπόντες rec. 16 αὐτοῖσι A 17 δ' V 21 ἐπὶ A[1]V, ἢ ἐπεὶ i. m. A[5], ἐπεὶ Gal. in cit. XVII, I 209 εὐφόρως πᾶσι V 22 θανατῶδες ..... ἐγένετο Gal. ibid.

[κατάστασις δευτέρη.]

4. Ἐν Θάσῳ πρωὶ τοῦ φθινοπώρου χειμῶνες οὐ κατὰ καιρόν, ἀλλ' ἐξαίφνης ἐν βορείοισι καὶ νοτίοισι πολλοῖς ὑγροὶ καὶ προεκρηγνύμενοι. ταῦτα δὴ ἐγένετο τοιαῦτα μέχρι πληϊάδος δύσιος καὶ ὑπὸ πληϊάδα. χειμὼν δὲ βόρειος· ὕδατα πολλά, λάβρα, μεγάλα, χιόνες· μειξαίθρια τὰ πλεῖστα. ταῦτα δὲ ἐγένετο μὲν πάντα, οὐ λίην δὲ ἀκαίρως τὰ τῶν ψυχέων. ἤδη δὲ μεθ' ἡλίου τροπὰς χειμερινὰς καὶ ἡνίκα ζέφυρος πνεῖν ἄρχεται, ὀπισθοχειμῶνες μεγάλοι, βόρεια πολλά, χιὼν καὶ 616 ὕδατα πολλὰ συνεχέως, | οὐρανὸς λαιλαπώδης καὶ ἐπινέφελος. ταῦτα δὲ συνέτεινε καὶ οὐκ ἀνίει μέχρι ἰσημερίης. ἔαρ δὲ ψυχρόν, βόρειον, ὑδατῶδες, ἐπινέφελον. θέρος οὐ λίην καυματῶδες ἐγένετο· ἐτησίαι συνεχέες ἔπνευσαν. ταχὺ δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισι πολλὰ πάλιν ὕδατα.

5. Γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου κατὰ χειμῶνα μὲν ὑγιηρῶς εἶχον τὰ πλεῖστα, πρωὶ δὲ τοῦ ἦρος πολλοί τινες καὶ οἱ πλεῖστοι διῆγον ἐπινόσως. ἤρξαντο μὲν οὖν τὸ πρῶτον ὀφθαλμίαι ῥοώδεες, ὀδυνώδεες, ὑγραὶ ἀπέπτως· σμικρὰ λημία δυσκόλως πολλοῖσιν ἐκρηγνύμενα· τοῖσι πλείστοισιν ὑπέστρεφον· ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρον. κατὰ δὲ

1 κατάστ. δευτ. om. A, κατάστασις β: τμῆμα δεύτερον: ~ V 2 πρῲ A 3 βορίοισι A 4 διεγένετο A, mut. A[4] in δὴ ἐγένετο, δὲ διεγέν. V 5 πλιάδος .. πλιάδα A[1], mut. A[4] in πλειάδ. δύσιος om. A 6 βόριος A ut solet λαῦρα V 7 μιξαίθριαι V τὰ πλεῖστα om. V γίνεται A 8 ψύχεων A 11 ξυνεχῶς πολλὰ, καὶ οὐρ. V 12 ἤνει A 14 ἐγίνετο A ξυνεχῶς V 18 ὑγεειηρῶς A 19 πρὸς pro ἦρος A 21. 22 πολλοῖσι δυσκ. V 22 ἐκ ῥηγν. V

θέρος καὶ φθινόπωρον δυσεντεριώδεες καὶ τεινεσμοὶ καὶ λειεντεριώδεες. καὶ διάρροιαι χολώδεες, πολλοῖσι λεπτοῖσιν, ὠμοῖσι καὶ δακνώδεσιν, ἔστι δ' οἷσι καὶ ὑδατώδεες. πολλοῖσι δὲ καὶ περίρροιαι μετὰ πόνου χολώδεες, ὑδατώδεες, ξυσματώδεες, πυώδεες, στραγγουριώδεες· | οὐ νεφριτικά, ἀλλὰ τούτοισιν ἀντ' ἄλλων 618 ἄλλα. ἔμετοι φλεγματώδεες, χολώδεες καὶ σιτίων ἀπέπτων ἀναγωγαί. ἱδρῶτες· πᾶσι πάντοθεν πολὺς πλάδος. ἐγίνετο δὲ ταῦτα πολλοῖσιν ὀρθοστάδην ἀπύροισι, πολλοῖσι δὲ πυρετοί, περὶ ὧν γεγράψεται. ἐν οἷσι δὲ ὑπεφαίνετο πάντα τὰ ὑπογεγραμμένα, μετὰ πόνου φθινώδεες. ἤδη δὲ φθινοπώρου καὶ ὑπὸ χειμῶνα πυρετοὶ συνεχέες — καί τισιν αὐτῶν ὀλίγοισι καυσώδεες — ἡμερινοί, νυκτερινοί, ἡμιτριταῖοι, τριταῖοι ἀκριβέες, τεταρταῖοι, πλάνητες. ἕκαστοι δὲ τῶν ὑπογεγραμμένων πυρετῶν πολλοῖσιν ἐγίνοντο.

6. Οἱ μὲν οὖν καῦσοι ἐλαχίστοισί τε ἐγένοντο καὶ ἥκιστα | τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὔτε γὰρ 620 ἡμορράγει, εἰ μὴ πάνυ σμικρὰ καὶ ὀλίγοισιν, οὔτε οἱ παράληροι. τά τε ἄλλα πάντ' εὐφόρως. ἔκρινε τούτοισι πάνυ εὐτάκτως, τοῖσι πλείστοισι σὺν τῇσι διαλειπούσῃσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσιν οὐδὲ ἀποθανόντα

1 ἤδη καὶ τὸ φθινόπ. V τηνεσμοὶ V ut 188, 14 τεινεσμοὶ καὶ λειεντ. om. A 2 λιεντεριώδεες, καὶ διάρροια χολώδεσι λεπτοῖσι πολλοῖσιν V 4 ὑδατώδεσι V περίροιαι A[1], ρ add. A[4] 5 χολώδεεις A[1], mut. in -δεες A[4] ὑδατώδεες om. A 6 φρενητικὰ A 7 χολ., φλεγμ. V σίτων A 9 πλαδὸς V 10 πυρέττουσιν Gal. i. t. 10. 11 ἐνίοισί τε V, ἐνίοισι δὲ A, ἐν οἷσι δὲ Gal. i. t. 14 καυσώδεσιν V τριταῖοι om. V 15 πλανήτες A, πλανῆτες V, item p. 186, 11 17 ἐγίν. A, ἐγίγν. V, ἐγέν. Gal. i. t. et in cit. IX, 848 Kuehn 18 ante οὗτοι add. καὶ V $\overset{\text{αἴ}}{\text{ἔτιον}}$ ἦσαν A, αἴ ss. A[3] 19 αἱμορραγίη εἰ V οἱ om. Gal. in cit. l. l. 20 πάντα εὐφόρως ἐκρίνετο· V

οὐδένα οἶδα τότε καύσῳ οὐδὲ φρενιτικὰ τότε γενόμενα. οἱ δὲ τριταῖοι πλείους μὲν τῶν καύσων καὶ ἐπιπονώτεροι· εὐτάκτως δὲ τούτοισι πᾶσιν ἀπὸ τῆς πρώτης λήψιος τέσσαρας περιόδους· ἐν ἑπτὰ δὲ τελέως ἔκριναν οὐδ' ὑπέστρεψαν οὐδενὶ τούτων. οἱ δὲ τεταρταῖοι πολλοῖσι μὲν ἐξ ἀρχῆς ἐν τάξει τεταρταίου ἤρξαντο, ἔστι δὲ οἷς οὐκ ὀλίγοισιν ἐξ ἄλλων πυρετῶν καὶ νοσημάτων ἀποστάσει τεταρταῖοι ἐγένοντο· |
622 *μακρὰ δὲ καὶ ὡς εἴθισται τούτοισι καὶ ἔτι μακρότερα συνέπιπτεν. ἀμφημερινοὶ δὲ καὶ νυκτερινοὶ καὶ πλάνητες πολλοῖσι πολλοὶ καὶ πολὺν χρόνον παρέμενον ὀρθοστάδην τε καὶ κατακειμένοισι. τοῖσι πλείστοισι τούτων ὑπὸ πληϊάδα καὶ μέχρι χειμῶνος οἱ πυρετοὶ παρείποντο. σπασμοὶ δὲ πολλοῖσι, μᾶλλον δὲ παιδίοις, ἐξ ἀρχῆς καὶ ὑπεπύρεσσον, καὶ ἐπὶ πυρετοῖσιν ἐγίνοντο σπασμοί· χρόνια μὲν τοῖσι πλείστοισι τούτων, ἀβλαβέα δέ, εἰ μὴ τοῖσι καὶ ἐκ τῶν ἄλλων πάντων ὀλεθρίως ἔχουσιν.*

7. *Οἱ δὲ δὴ συνεχέες μὲν τὸ ὅλον καὶ οὐδὲν ἐκλείποντες, παροξυνόμενοι δὲ πᾶσι τριταιοφυέα τρόπον, μίαν ὑποκουφίζοντες καὶ μίαν παροξυνόμενοι, πάντων βιαιότατοι τῶν τότε γενομένων καὶ μακρότατοι καὶ μετὰ πόνων μεγίστων γενόμενοι· πρηέως ἀρχόμενοι, τὸ δ' ὅλον ἐπιδιδόντες αἰεὶ καὶ παροξυνόμενοι καὶ ἀνάγοντες ἐπὶ τὸ κάκιον· σμικρὰ διακουφίζοντες καὶ*
624 *ταχὺ | πάλιν ἐξ ἐπισχέσιος βιαιοτέρως παροξυνόμενοι,*

1 *γιν.* V 2 *δὲ* om. A 5 *ἔκρινον* A *ὑπέστρεψεν* V 7 *δ'* V 8 *ἐγίνοντο* A, *ἀποστάσιες ἐς τεταρταίους ἐγέν.* V 10 *ἀφημερινοὶ* V 13 *πλιάδα* A, mut. in *πλειάδα* A[4] 15 *ἐξ-αρχῆς* A ut solet 19 *δὴ* om. V 24 *δ'* om. V 24—26 *καὶ ἀνάγοντες — παροξυνόμενοι* om. V 25 *κακὸν* A 26 *βιαιοτέροις* A

ἐν κρισίμοις ὡς ἐπὶ τὸ πολὺ κακούμενοι. ῥίγεα δὲ πᾶσι μὲν ἀτάκτως καὶ πεπλανημένως ἐγίνετο, ἐλάχιστα δὲ καὶ ἥκιστα τούτοισιν, ἀλλ' ἐπὶ τῶν ἄλλων πυρετῶν μείζω. ἱδρῶτες πολλοί, τούτοισι δὲ ἐλάχιστοι, κουφίζοντες οὐδέν, ἀλλ' ὑπεναντίον βλάβας φερόντες. ψύξις δὲ πολλὴ τούτοισιν ἀκρέων καὶ μόγις ἀναθερμαινόμενα. [οὐδ'] ἄγρυπνοι τὸ σύνολον καὶ μάλιστα οὗτοι καὶ πάλιν κωματώδεες. κοιλίαι δὲ πᾶσι μὲν ταραχώδεες καὶ κακαί, πολὺ δὲ τούτοισι κάκισται. οὖρα δὲ τοῖσι πλείστοισι τούτων ἢ λεπτὰ καὶ ὠμὰ καὶ ἄχρω καὶ μετὰ χρόνον σμικρὰ πεπαινόμενα κρισίμως ἢ πάχος μὲν ἔχοντα, θολερὰ δὲ καὶ οὐδὲν | καθιστάμενα, οὐδ' 626 ὑφιστάμενα, ἢ σμικρὰ καὶ κακὰ καὶ ὠμὰ τὰ ὑφιστάμενα· κάκιστα δὲ ταῦτα πάντων. βῆχες δὲ παρείποντο μὲν τοῖς πυρετοῖσι, γράψαι δὲ οὐκ ἔχω βλάβην οὐδ' ὠφελείην γενομένην διὰ βηχὸς τότε.

8. Χρόνια μὲν οὖν καὶ δυσχερέα καὶ πάνυ ἀτάκτως καὶ πεπλανημένως καὶ ἀκρίτως τὰ πλεῖστα τούτων διετέλει γινόμενα καὶ τοῖσι πάνυ ὀλεθρίως ἔχουσι καὶ τοῖσι μή. εἰ γάρ τινας αὐτῶν καὶ διαλίποι σμικρά, ταχὺ πάλιν ὑπέστρεφεν. ἔστι δ' οἷσιν ἔκρινεν αὐτῶν ὀλίγοισιν, οἷσι τὰ βραχύτατα γένοιτο, περὶ ὀγδοηκοστὴν ἐοῦσι, καὶ τούτων ἐνίοις ὑπέστρεφεν, ὥστε κατὰ χειμῶνα τοὺς πλείστους αὐτῶν ἔτι νοσεῖν. τοῖσι δὲ πλεί-

2 τάχιστα A 4 δὲ om. A 5 ὑπεναντίοι A, ὑπ' ἐναντίον V 6 δὲ om. V ἀκραίων A[1], em. A[4] 7 οὐδ' (οὐδὲ V) del. Litt. καὶ om. V 8 κωμματ. V δὲ om. V 9 πολλοῖσι V 10 ἄχρω[α] A, α ss. A[3], ἄχροα V 13 ante ἢ add. οὐδὲ πεπαινόμενα V καὶ ὠμὰ om. V ante τὰ ὑφ. add. καὶ A 14 δὲ post κάκ. om. A πάντα V 20 διαλίποι A, mut. in διαλείποι A[4], διαλίποιεν V 21 ὑπέστρεφον V ἔτι δὲ V 22 βραδύτατα A γίνοιτο V περιπεσοῦσι pro περὶ ὀγδ. ἐοῦσι A 24 δὲ om. A

στοισιν ἀκρίτως ἐξέλειπεν. ὁμοίως δὲ ταῦτα συνέπιπτεν τοῖς περιγινομένοισιν καὶ τοῖσιν οὔ. πολλῆς δέ τινος γινομένης ἀκρισίης καὶ ποικιλίης ἐπὶ τῶν νοσημάτων καὶ μεγίστου μὲν σημείου καὶ κακίστου διὰ τέλεος 628 *παρεπομένου τοῖσι πλείστοι|σιν ἀποσίτοις εἶναι πάντων γευμάτων, μάλιστα δὲ τούτων, οἷσι καὶ τἄλλα ὀλεθρίως ἔχοι, διψώδεες οὐ λίην ἀκαίρως ἦσαν ἐπὶ τοῖσι πυρετοῖσι τούτοισι. γενομένων δὲ χρόνων μακρῶν καὶ πόνων πολλῶν καὶ κακῆς συντήξιος, ἐπὶ τούτοισιν ἀποστάσιες ἐγίνοντο ἢ μέζους, ὥστε ὑποφέρειν μὴ δύνασθαι, ἢ μείους, ὥστε μηδὲν ὠφελεῖν, ἀλλὰ ταχὺ παλινδρομεῖν καὶ συνεπείγειν ἐπὶ τὸ κάκιον.*

9. *Ἦν δὲ τούτοισι τὰ γινόμενα δυσεντεριώδεα καὶ τεινεσμοί, καὶ λειεντερικοὶ καὶ ῥοώδεες. ἔστι δ' οἷσι καὶ ὕδρωπες μετὰ τούτων καὶ ἄνευ τούτων. ὅ τι δὲ παραγένοιτο τούτων βιαίως, ταχὺ συνήρει ἢ πάλιν ἐπὶ τὸ μηδὲν ὠφελεῖν. ἐξανθήματα σμικρὰ καὶ οὐκ ἀξίως τῆς περιβολῆς τῶν νοσημάτων καὶ ταχὺ πάλιν ἀφανιζόμενα ἢ παρὰ τὰ ὦτα οἰδήματα μωλυόμενα καὶ οὐδὲν* 630 *ἀποσημαίνοντα, ἔστι δ' οἷς | ἐς ἄρθρα, μάλιστα δὲ κατὰ ἰσχίον, ὀλίγοισι κρισίμως ἀπολείποντα καὶ ταχὺ πάλιν ἐπικρατεύμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν.*

10. *Ἔθνησκον δ' ἐκ πάντων μέν, πλεῖστοι δ' ἐκ τούτων, καὶ τούτων παιδία, ὅσα ἀπὸ γάλακτος ἤδη, καὶ πρεσβύτερα, ὀκταετέα καὶ δεκαετέα, καὶ ὅσα πρὸ*

1 *ἐξέλιπον* V 3 *γενομένης* V 4 *διατέλεος* A 6 *τ' ἄλλα* V 7 *ἔχει* A 10 *ἢ . . . δύνασθαι* om. V 12 *κακὸν* A 14 *λ(ει* inser. A^4*)εντερικοὶ* A 15 *ὅσα* pro *ὅ τι* V 16 *παραγενοίατο* V *συνηιρείη* A pro *συνήρει ἢ* 17 *τῷ* V 19 *μὴ λυόμενα* A, *μολυνόμενα* V, *μωλυόμενα* Foes. Oecon. s. v. *μωλ.* 20 *οἷσιν* V 21 *κατ'* V *ἀπολιπόντα* V 22 *ἕξιν* V 23 *δὲ* sine *ἐκ* A utroque loco *οὐ πάντες μὲν* i. m. A^5 25 *ὀκταέτεα* A *δεκαέτεα* A, *δεκατέα* (ε ss.) V, *ε* ss. V^2

ἥβης. ἐγίνετο δὲ τούτοισι ταῦτα οὐκ ἄνευ τῶν πρώτων γεγραμμένων, τὰ δὲ πρῶτα πολλοῖσιν ἄνευ τούτων. μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γενομένων σημείων καὶ πλείστους ἐρρύσατο τῶν ἐόντων ἐπὶ τοῖσι μεγίστοισι κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο καὶ ἐς τοῦτο | 632 ἀποστάσιες ἐγίνοντο. συνέπιπτε δὲ καὶ τὸ στραγγουριῶδες τῇσιν ἡλικίῃσιν ταύτῃσιν γίνεσθαι μάλιστα. ἐγίνετο δὲ καὶ τῶν ἄλλων πολλοῖσιν ὀρθοστάδην καὶ ἐπὶ τῶν νοσημάτων. ταχὺ δὲ καὶ μεγάλη τις ἡ μεταβολὴ τούτοισι πάντων ἐγίνετο. κοιλίαι τε γάρ, καὶ εἰ τύχοιεν ἐφυγραινόμεναι κακοήθεα τρόπον, ταχὺ συνίσταντο, γεύμασίν τε πᾶσιν ἡδέως εἶχον, οἵ τε πυρετοὶ πρηέες μετὰ ταῦτα. χρόνια δὲ καὶ τούτοισι τὰ περὶ τὴν στραγγουρίην καὶ ἐπιπόνως. οὖρα δὲ τούτοισιν ᾔει πολλὰ παχέα καὶ ποικίλα καὶ ἐρυθρά, μειξόπυα μετ᾽ ὀδύνης. περιεγένοντο δὲ πάντες οὗτοι, καὶ οὐδένα τούτων οἶδα ἀποθανόντα.

11. Ὅσα διὰ κινδύνων, πεπασμοὺς τῶν ἀπιόντων πάν|634 τας πάντοθεν ἐπικαίρους ἢ καλὰς καὶ κρισίμους ἀποστάσιας σκοπεῖσθαι. πεπασμοὶ ταχυτῆτα κρίσιος καὶ ἀσφάλειαν ὑγιείης σημαίνουσιν, ὠμὰ δὲ καὶ ἄπεπτα καὶ ἐς κακὰς ἀποστάσιας τρεπόμενα ἀκρισίας ἢ πόνους ἢ χρόνους ἢ θανάτους ἢ τῶν αὐτῶν ὑποστροφάς. ὅ τι δὲ τούτων ἔσται μάλιστα, σκεπτέον ἐξ ἄλλων. λέγειν τὰ

5 οἷσιν om. A 6 ἐγένετο A 7 ante τὸ add. ἐν τοῖσι πλείστοισι V 11 εἰ καὶ V 12 κακοηθέα V 13 τε om. A 14 τὴν om. V 15 post ἐπιπ. add. ἦν V εἴη A, εἶσι V, ᾔει Littr. e Parisinorum HJ ἤει καὶ om. A 16 μιξοποιὰ V 18 ὅσον A, ὁκόσα V δὲ διὰ κινδύνους V, δὲ ἀκινδύνως vulg., ἀκινδύνως ἔστιν sine δὲ Gal. comm., ἐνόσεον δὲ ἀκινδύνως. ad cap. 10 trahens Erm. 20 περὶ πεπασμῶν i. tit. A καὶ (vulg.) om. A 20. 21 καὶ κρίσηος ἀσφ. V 21 ὑγιεῖν A, mut. in ὑγιείης A[3], ὑγείην V καὶ ante ἐς (vulg.) om. AV 23 ὅτι A

προγενόμενα, γινώσκειν τὰ παρεόντα, προλέγειν τὰ ἐσόμενα· μελετᾶν ταῦτα. ἀσκεῖν περὶ τὰ νοσήματα δύο,
636 ὠφελεῖν ἢ μὴ βλάπτειν. ἡ τέχνη διὰ τριῶν, τὸ νόσημα καὶ ὁ νοσέων καὶ ὁ ἰητρός· ὁ ἰητρὸς ὑπηρέτης τῆς τέχνης· ὑπεναντιοῦσθαι τῷ νοσήματι τὸν νοσέοντα μετὰ τοῦ ἰητροῦ.

12. Τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα καὶ βάρεα μετ' ὀδύνης ἄνευ πυρετῶν καὶ ἐν πυρετοῖσι· φρενιτικοῖσι μὲν σπασμοί, καὶ ἰώδεα ἐπανεμεῦσιν, ἔνιοι ταχυθάνατοι τούτων. ἐν καύσοισι δὲ καὶ τοῖς ἄλλοις πυρετοῖς, οἷσι μὲν τραχήλου πόνος καὶ κροτάφων βάρος καὶ σκοτώδεα περὶ τὰς ὄψιας καὶ ὑποχονδρίου σύντασις οὐ μετ' ὀδύνης γίνεται, τούτοισιν αἱμορραγεῖ |
638 διὰ ῥινῶν· οἷσι δὲ βάρεα μὲν ὅλης τῆς κεφαλῆς, καρδιωγμοὶ δὲ καὶ ἀσώδεές εἰσιν, ἐπανεμέουσιν χολώδεα καὶ φλεγματώδεα. τὸ πολὺ δὲ παιδίοισιν ἐν τοῖσι τοιούτοισιν οἱ σπασμοὶ μάλιστα, γυναιξὶ δὲ καὶ ταῦτα καὶ ἀπὸ ὑστερέων πόνοι, πρεσβυτέροισι δὲ καὶ ὅσοις ἤδη τὸ θερμὸν κρατεῖται, παραπληγικὰ ἢ μανικὰ ἢ στερήσιες ὀφθαλμῶν.

[κατάστασις τρίτη.]

13. Ἐν Θάσῳ πρὸ ἀρκτούρου ὀλίγον καὶ ἐπ' ἀρκτούρου ὕδατα πολλὰ μεγάλα ἐν βορείοις. περὶ δὲ ἰσημερίην καὶ μέχρι πληϊάδος νότια ὕσματα ὀλίγα. χειμὼν

1 προγινόμενα V 2 περὶ δύο τὰ νοσήματα A 5 τὸ pro τῷ A 6 post ἰητροῦ add. χρή V 8 βαρέα V 12 σιτώδεα τὰ περὶ A post ὄψ. add. ἢ V 12. 13 γίγνεται ξύντασις μετ' ὀδ. V 13 οὐ om. AV, add. Gal. i. t. et in cit. IX 753 15 ἐπανεμοῦσι V 16 ἐν τουτέοισι τοιούτοισιν V 19. 20 στέρησις V, ὑστέρησις pro ἢ στερήσιες A, ἢ στερήσιες vulg. 21 κατάστασις τρίτη om. A 22 ἀρκτούρῳ A 23 πολλὰ om. A βορίοις A, βορεί|σι (sic) V 24 πλεϊ(εϊ A[1])άδος A

βόρειος, αὐχμοί, ψύχεα, πνεύματα μεγάλα, χιόνες. περὶ
δὲ ἰσημερίην χειμῶνες μέγιστοι. ἔαρ βόρειον, αὐχμοί, 640
ὕσματα ὀλίγα, ψύχεα. περὶ δὲ ἡλίου τροπὰς θερινὰς
ὕδατα ὀλίγα, μεγάλα ψύχεα μέχρι κυνὸς ἐπλησίασε.
μετὰ δὲ κύνα μέχρι ἀρκτούρου θέρος θερμόν· καύματα
μεγάλα καὶ οὐκ ἐκ προσαγωγῆς, ἀλλὰ συνεχέα καὶ
βίαια· ὕδωρ οὐκ ἐγένετο· ἐτησίαι ἔπνευσαν. περὶ
ἀρκτοῦρον ὕσματα νότια μέχρι ἰσημερίης.

14. Ἐν τῇ καταστάσει ταύτῃ κατὰ χειμῶνα μὲν
ἤρξαντο παραπληγίαι καὶ πολλοῖσιν ἐγίνοντο, καὶ τινὲς
αὐτῶν ἔθνησκον διὰ ταχέων· καὶ γὰρ ἄλλως τὸ νόσημα
ἐπίδημον ἦν· τὰ δὲ ἄλλα διετέλεον ἄνοσοι. πρωῒ δὲ
τοῦ ἦρος ἤρξαντο καῦσοι καὶ διετέλεον μέχρι ἰσημε-
ρίης καὶ πρὸς τὸ θέρος. ὅσοι μὲν | οὖν ἦρος καὶ 642
θέρεος ἀρξαμένου αὐτίκα νοσεῖν ἤρξαντο, οἱ πλεῖστοι
διεσῴζοντο, ὀλίγοι δέ τινες ἔθνησκον. ἤδη δὲ τοῦ
φθινοπώρου καὶ τῶν ὑσμάτων γενομένων θανατώδεες
ἦσαν καὶ πλείους ἀπώλλυντο.

Ἦν δὲ τὰ παθήματα τῶν καύσων, οἷσι μὲν καλῶς
καὶ δαψιλέως ἐκ ῥινῶν αἱμορραγῆσαι, διὰ τούτου μά-
λιστα σῴζεσθαι, καὶ οὐδένα οἶδα, εἰ καλῶς αἱμορρα-
γῆσαι, ἐν τῇ καταστάσει ταύτῃ ἀποθανόντα. Φιλίσκῳ
γὰρ καὶ Ἐπαμεινόνι καὶ Σιληνῷ τεταρταίῳ καὶ πεμπταίῳ
σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν· ἀπέθανον. οἱ μὲν οὖν

1 βόριος A ut ubique 5 κῦνα V θέρεος A 6 post ἀλλὰ add. καὶ V 8 ότια A^1, ν praefixit A^2 10 ἤρξατο A, ν s.s. A^2 παραπλήγιαι A 12 δ' V 15 ἀρξάμενοι AV, ἀρξαμένου vulg. 16 ante τοῦ add. καὶ A 17 γινομένων A 19 ante τῶν add. μετὰ A 20 δαψαλέως A ἔκρινεν pro ἐκ ῥινῶν V αἱμορραγῆσαι AV post αἱμ. add. ὑπὸ κύνα συνέβη V ante μάλιστα add. καὶ V 21 αἱμορραγήσει V, αἱμορραγῆσαι A 23 ἐπαμίνονι A, ἐπαμείνωνι V σιλήνω V

πλεῖστοι τῶν νοσησάντων περὶ κρίσιν ἐπερρίγουν καὶ μάλιστα οἷσι μὴ αἱμορραγήσαι. ἐπερρίγουν δὲ καὶ οὗτοι καὶ ἐφίδρουν.

644 15. *Ἔστι δὲ οἷσιν ἴκτεροι ἑκ|ταίοις, ἀλλὰ τούτοις ἢ κατὰ κύστιν κάθαρσις ἢ κοιλίη ἐκταραχθεῖσα ὠφέλει ἢ δαψιλὴς αἱμορραγίη, οἷον Ἡρακλείδῃ, ὃς κατέκειτο παρὰ Ἀριστοκύδει. καίτοι τούτῳ καὶ ἐκ ῥινῶν ἡμορράγησε καὶ ἡ κοιλίη ἐπεταράχθη, καὶ κατὰ κύστιν ἐκαθήρατο· ἐκρίθη εἰκοσταῖος· οὐχ οἷον ὁ Φαναγόρεω οἰκέτης, ᾧ οὐδὲν τούτων ἐγένετο· ἀπέθανεν. ἡμορράγει δὲ τοῖσι πλείστοισι, μάλιστα δὲ μειρακίοισι καὶ ἀκμάζουσι, καὶ ἔθνησκον πλεῖστοι τούτων, οἷσι μὴ αἱμορραγήσαι. πρεσβυτέροισι δὲ ἐς ἰκτέρους ἢ κοιλίαι ταραχώδεες, οἷον Βίωνι τῷ παρὰ Σιληνὸν κατακειμένῳ. ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι κατὰ θέρος, καί τισι καὶ τῶν διανοσησάντων, οἷσι καὶ αἱμορραγίαι ἐγένοντο, ἐς δυσεντεριώδεα ἐτελεύτησεν, οἷον τῷ Ἐράτωνος παιδὶ καὶ Μύλλῳ πολλῆς αἱμορραγίης γενομένης ἐς δυσεν-*
646 *τεριώδεα κατέστη· | περιεγένοντο.*

Πολὺς μὲν οὖν μάλιστα οὗτος ὁ χυμὸς ἐπεπόλασεν, ἐπεὶ καὶ οἷσι περὶ κρίσιν οὐχ ἡμορράγησεν, ἀλλὰ παρὰ τὰ ὦτα ἐπαναστάντα ἠφανίσθη — τούτων δὲ ἀφανισθέντων παρὰ τὸν κενεῶνα βάρος τὸν ἀριστερὸν καὶ

2 *αἱμορραγῆσαι* A, *αἱμορραγήσει* V 3 *ἐξίδρουν* A 4 *δ'* V 5 *ἡ κατὰ* AV, *ἢ* D *ἡ κοιλίη* V *ὠφελεῖ* A, *ὠφελῆσαι* V 6 *ἡρακλείδη* A, *ἡρακλείδης* V 7 *τωκύδει* A 9 *φαναγορέω* A 12 *τοιουτέων* V *αἱμορραγῆσαι* VA, mut. in *ἡμορράγησεν* A[4] 14 post *ταραχ.* add. *ἢ δυσεντεριώδεες* V *σιλήνω* V 16 *ἐγίνοντο* V 17 *τῶ ἱεράτωνος π.* A, *τὸ ἐράτωνος παιδίον* V 18 *μύλω* V 20 *πολὺ* A *ὁ χυμὸς οὗτος* V

21 *ἐπὶ* A[1], em. A[4] *οὐχ'* AV 22 *ἠφανή(ι ss. A[4])σθειη* A, *ει* inser. A[3], *σημαίνει τὰ κατὰ ἀπόσκειψιν* A[2] i. m.

ἐς ἄκρον ἰσχίον — ἀλγήματος μετὰ κρίσιν γενομένου καὶ οὔρων λεπτῶν διεξιόντων, αἱμορραγεῖν σμικρὰ ἤρξατο περὶ τετάρτην καὶ εἰκοστήν, καὶ ἐγένοντο ἐς αἱμορραγίην ἀποστάσιες· Ἀντιφῶντι Κριτοβούλου ἀπεπαύσατο καὶ ἐκρίθη τελέως περὶ τεσσαρακοστήν.

16. Γυναῖκες δὲ ἐνόσησαν μὲν πολλαί, ἐλάσσους δὲ ἢ ἄνδρες καὶ ἔθνησκον ἧσσον. ἐδυστόκεον δὲ αἱ πλεῖσται καὶ μετὰ τοὺς τόκους ἐπενόσεον, καὶ ἔθνησκον αὗται μάλιστα, οἷον ἡ Τελεβούλου θυγάτηρ ἀπέθανεν ἑκταίη ἐκ τόκου. τῇσι μὲν οὖν πλείστῃσιν ἐν τοῖσι πυρετοῖσι γυναικεῖα ἐπεφαίνετο καὶ παρθέ|νοισι πολλῇσι 648 τότε πρῶτον ἐγένετο· ἔστι δ' ᾗσιν ᾑμορράγησεν ἐκ ῥινῶν· ἔστι δ' ὅτε καὶ ἐκ ῥινῶν καὶ τὰ γυναικεῖα τῇσιν αὐτῇσιν ἐπεφαίνετο, οἷον τῇ Δαιθάρσεος θυγατρὶ παρθένῳ ἐπεφάνη τότε πρῶτον καὶ ἐκ ῥινῶν λάβρον ἐρρύη, καὶ οὐδεμίαν οἶδα ἀποθανοῦσαν, ᾗσι τούτων τι καλῶς γένοιτο. ᾗσι δὲ συνεκύρησεν ἐν γαστρὶ ἐχούσῃσι νοσῆσαι, πᾶσαι ἀπέφθειραν, ἃς καὶ ἐγὼ οἶδα.

17. Οὖρα δὲ τοῖσι πλείστοισιν εὔχρω μέν, λεπτὰ δὲ καὶ ὑποστάσιας ὀλίγας ἔχοντα, κοιλίαι δὲ ταραχώδεες τοῖσι πλείστοισι διαχωρήμασι λεπτοῖσι καὶ χολώδεσι. πολλοῖσι δὲ τῶν ἄλλων κεκριμένων ἐς δυσεντερίας ἐτελεύτα, οἷον Ξενοφάνει καὶ Κριτίᾳ. οὖρα δὲ

1 ἐς (vulg.) om. AV   3 ἤρξαντο· περὶ δὲ εἰκοστὴν τετάρτην ἐγένοντο καὶ V   5 τσμ̄ A, τεσσαράκοντα V   7 οἱ pro ἢ V   αἱ om. V   9 ἡ om. V   τελεβούλου A   12 ἔστι δ' ᾗσιν ᾑμ. ἐκ ῥ. in codd. ante καὶ παρθ. . . . ἐγένετο (11. 12), transpos. Erm.   11 καὶ παρθ. . . . ἐπεφαίνετο (14) om. V   12 αἱμορρ. A   14 δαιθαρσέως V   16 οὐδὲ μίην V   17 ξυνεκύρησσεν V   17. 18 ἐχούσησιν ἐν γαστρὶ V   18 νοσήσασαι A

19 εὔχρω A, α ss. A², εὔχροα V   22 κεκριμμένων AV δυσεντερίην V   23 ξενοφάνει A   δὲ om. V

ὑδατώδεα πολλὰ καθαρὰ καὶ λεπτὰ καὶ μετὰ κρίσιν καὶ ὑποστάσιος καλῆς γενομένης καὶ τῶν ἄλλων καλῶς
650 *κεκριμένων ἀνα|μνήσομαι οἷσιν ἐγένετο· Βίωνι, ὃς κατέκειτο παρὰ Σιληνόν, Κράτιδι τῇ παρὰ Ξενοφάνεος, Ἀρέτωνος παιδί, Μνησιστράτου γυναικί. μετὰ δὲ δυσεντεριώδεες ἐγένοντο οὗτοι πάντες. [ἦρα ὅτι οὔρησαν ὑδατώδεα σκεπτέον.]*

Περὶ δὲ ἀρκτοῦρον ἑνδεκαταίοισι πολλοῖσιν ἔκρινε καὶ τούτοισιν οὐδ' αἱ κατὰ λόγον γινόμεναι ὑποστροφαὶ ὑπέστρεφον· ἦσαν δὲ καὶ κωματώδεες περὶ τὸν χρόνον τοῦτον, πλείω δὲ παιδία, καὶ ἔθνησκον ἥκιστα οὗτοι πάντων.

18. *Περὶ δὲ ἰσημερίην καὶ μέχρι πληϊάδος καὶ ὑπὸ χειμῶνα παρείποντο μὲν οἱ καῦσοι, ἀτὰρ καὶ οἱ φρενιτικοὶ τηνικαῦτα πλεῖστοι ἐγένοντο καὶ ἔθνησκον τούτων οἱ πλεῖστοι. ἐγένοντο δὲ καὶ κατὰ θέρος ὀλίγοι. τοῖσι μὲν οὖν καυσώδεσιν ἀρχομένοισιν ἐπεσήμαινεν, οἷσι τὰ ὀλέθρια συνέπιπτεν· αὐτίκα γὰρ ἀρχομένοισι*
652 *πυρετὸς ὀξύς, | σμικρὰ ἐπερρίγουν, ἄγρυπνοι, διψώδεες, ἀσώδεες, σμικρὰ ἐφίδρουν περὶ μέτωπον καὶ κληῖδας, οὐδεὶς δι' ὅλου, πολλὰ παρέλεγον, φόβοι, δυσθυμίαι, ἄκρεα περίψυχρα, πόδες ἄκροι, μᾶλλον δὲ τὰ περὶ χεῖρας· οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι· τοῖσι δὲ*

1 *καθαρὰ* om. A *καὶ* ante *μετὰ* om. A 3 *κεκριμμένων* V *ἀναμνήσωμαι* A 4 *Κρατίῃ τῇ παρὰ* V, *Κρατιαίτῃ π.* A, *Κράτιδι τῇ* Meineke, Ber. d. K. pr. Ak. d. W. 1852, p. 581 *Ξενοφάνους* V 5 *Ἀραίτωνος* A 6 *ἐγένοντο* A *ἦρα* (*ἦρά γε* V) — *σκεπτέον* del. Erm. 9 *οὐθ'* AV *γενόμεναι* V 10 *καὶ* om. V *κωμματ.* V 13 *πλειάδος* A 14 *οἱ* ante *φρεν.* om. V 15 *ἐγίνοντο* V 16 *ἐγένετο* A 18 *ἐνέπιπτεν* A, *ξυνέπιπτον* V, *ξυνέπιπτεν* vulg. 19 *ἐπερίγουν* V post *ἀγρ.* add. *ἀδήμονες* R' Gal., Litt. 21 *διόλου* A 22 *ἄκραια* A *ὑπόψυχρα* V *μάλιστα* V 23 ante *τὰ* add. *καὶ* V *ἐναντίοισι* pro *ἐν ἀρτ.* V

πλείστοισιν τεταρταίοισιν οἱ πόνοι μέγιστοι καὶ ἱδρὼς ἐπὶ πλεῖστον ὑπόψυχρος καὶ ἄκρεα οὐκ ἔτι ἀνεθερμαίνοντο, ἀλλὰ πελιδνὰ καὶ ψυχρά, οὐδ' ἐδίψων ἔτι ἐπὶ τούτοισιν· οὖρα τούτοις ὀλίγα, μέλανα, λεπτὰ καὶ κοιλίαι ἐφίσταντο· οὐδ' ἡμορράγησεν ἐκ ῥινῶν οὐδενί, οἷσι ταῦτα συμπίπτοι, ἀλλ' ἢ | σμικρὰ ἔσταξεν· οὐδ' ἐς 651 *ὑποστροφὴν οὐδενὶ τούτων ἦλθεν, ἀλλ' ἑκταῖοι ἀπέθνῃσκον σὺν ἱδρῶτι. τοῖσι δὲ φρενιτικοῖσι συνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα πάντα, ἔκρινε δὲ τούτοισιν ὡς ἐπὶ τὸ πολὺ ἑνδεκαταίοισιν· ἔστι δ' οἷσι καὶ εἰκοσταίοισι, οἷσιν οὐκ εὐθὺς ἐξ ἀρχῆς ἡ φρενῖτις ἤρξατο ⟨ἢ⟩ περὶ τρίτην ἢ τετάρτην ἡμέρην, ἀλλὰ μετρίως ἔχουσιν ἐν τῷ πρώτῳ χρόνῳ περὶ τὴν ἑβδόμην ἐς ὀξύτητα |* 656 *τὸ νόσημα μετέπεσεν.*

19. *Πλῆθος μὲν οὖν τῶν νοσημάτων ἐγένετο. ἐκ δὲ τῶν καμνόντων ἀπέθνῃσκον μάλιστα μειράκια, νέοι, ἀκμάζοντες, λεῖοι, ὑπολευκόχρωτες, ἰθύτριχες, μελανότριχες, μελανόφθαλμοι, οἱ εἰκῇ καὶ ἐπὶ τὸ ῥᾴθυμον βεβιωκότες, ἰσχνόφωνοι, τρηχύφωνοι, τραυλοί, ὀργίλοι. καὶ γυναῖκες πλεῖσται ἐκ τούτου τοῦ εἴδεος ἀπέθνῃσκον. ἐν δὲ ταύτῃ τῇ καταστάσει ἐπὶ σημείων μάλιστα τεσσάρων διεσῴζοντο· οἷσι γὰρ ἢ διὰ ῥινῶν καλῶς αἱμορραγῆσαι ἢ κατὰ κύστιν οὖρα πολλὰ καὶ πολλὴν καὶ*

2 *ἄκραια* A, mut. in *ἄκρεα* A[4] *οὐκέτι* A *ἐθερμαίνοντο* V 3 *ἐδίψων. ἐπὶ τούτοισιν οὖρα τούτοις μέλανα ὀλ.* V 5 post *κοιλίαι* add. *τούτοις* A 6 *ἀλλ' ἢ* Blass, Gomp., *ἀλλὰ* libri 7 *ἀλλὰ καὶ ἔθνῃσκον* V 8 9 *οὐ σ. μ. τ. ὑ.* R' Litt. 9 *ἅπαντα* V *ἐκρίνετο* V 10 *ἐπὶ* om. AV *οἷσιν* sine *καὶ* V 11 *οἷσιν — μετέπεσεν* (14) om. AV, *οἷσιν εὐθὺς οὐκ* vulg., transposui et *ἢ* addidi auctore Blassio 16 *μάλιστα* om. A *νέοι ἀκμάζοντες* sine interpunct. A 17 *ὑπὸ λευκῶ χρῶτες* A, *λευκοχρῶτες* V 18 *ἡσυχῇ* pro *οἱ εἰκῇ* Gal. i. t. 21 *ταυ* (*τη* supra) A, *τῃ* ss. A[3], *ἐν δὲ τῇ καταστ. ταύτῃ* V 22 *ἡμορράγησ*... (*εν* supra) A, *αἱμορραγῆσαι* V

658 καλὴν ὑπόστασιν | ἔχοντα ἔλθοι ἢ κατὰ κοιλίην ταραχώδεα χολώδεσιν ἐπικαίρως, ἢ δυσεντερικοὶ γενοίατο. πολλοῖσι δὲ συνέπιπτε μὴ ἐφ' ἑνὸς κρίνεσθαι τῶν ὑπογεγραμμένων σημείων, ἀλλὰ διεξιέναι διὰ πάντων τοῖσι πλείστοισι καὶ δοκεῖν μὲν ἔχειν ὀχληροτέρως· διεσῴζοντο δὲ πάντες, οἷσι ταῦτα συμπίπτοι. γυναιξὶ δὲ καὶ παρθένοισι συνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα σημεῖα πάντα, ᾗσι δὲ ἢ τούτων τι καλῶς γένοιτο ἢ τὰ γυναικεῖα δαψιλέως ἐπιφανείη, διὰ τούτων ἐσῴζοντο καὶ ἔκρινε, καὶ οὐδεμίαν οἶδα ἀπολομένην, ᾗσι τούτων τι καλῶς γένοιτο. Φίλωνος γὰρ θυγάτηρ, ⟨ᾗ⟩ ἐκ ῥινῶν λάβρον ἐρρύη, ἑβδομαίη ἐοῦσα ἐδείπνησεν ἀκαιροτέρως· ἀπέθανεν.

[Οἷσιν ἐν πυρετοῖσιν ὀξέσι, μᾶλλον δὲ καυσώδεσιν, ἀέκουσιν δάκρυα παραρρεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμορραγίην προσδέχεσθαι, ἢν καὶ τἄλλα ὀλεθρίως μὴ ἔχω-
660 σιν, ἐπεὶ τοῖσί γε φλαύρως ἔχουσιν οὐχ | αἱμορραγίην, ἀλλὰ θάνατον σημαίνει.]

20. Τὰ παρὰ τὰ ὦτα ἐν πυρετοῖσιν ἐπαιρόμενα μετ' ὀδύνης ἔστιν οἷσιν ἐκλείποντος τοῦ πυρετοῦ κρισίμως οὔτε καθίστατο οὔτε ἐξεπύει· τούτοισι διάρροιαι χολωδέων ἢ δυσεντερίη ἢ παχέων οὔρων ὑπόστασις γενομένη ἔλυσεν, οἷον Ἑρμίππῳ τῷ Κλαζομενίῳ. τὰ δὲ περὶ τὰς κρίσιας, ἐξ ὧν καὶ διεγινώσκομεν, ἢ ὅμοια

1 ὑπόστ. καὶ καλὴν V 5 δοκέει V 6 συμπίπτει A, ξυνεμπίπτοι V 8 εἰ pro ἢ A², denuo illevit A⁴ 9 δαψιλῶς AV 10 οὐδὲ μίαν V ἀπολλομένην V 11 θυγατρὶ V ᾗ de meo addidi 14 Οἷσιν — σημαίνει (18) del. Erm. δὲ om. V 15 ἀεκούσια V παραρεῖ A ἀπὸ ῥινῶν om. A 16 μὴ ὀλ. V 17 Ἐπὶ A¹, ι mut. in ει A³, ἐπὶ V 20 ἐστὶν V 22 χολώδεων V 23 λύει V 24 διαγινώσκομεν V ἢ mut. in εἰ A⁴, εἰ Gal. in cit. IX, 848 Kuehn

ἢ ἀνόμοια, οἷον οἱ δύο ἀδελφεοί, οἳ ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην· κατέκειντο παρὰ τὸ θέρετρον· Ἐπιγένεος ἀδελφεοί. τούτων τῷ πρεσβυτέρῳ ἔκρινεν ἑκταίῳ, τῷ δὲ νεωτέρῳ ἑβδομαίῳ. ὑπέστρεψεν ἀμφοτέροισιν ὁμοῦ τὴν αὐτὴν ὥρην | καὶ διέλιπεν ἡμέρας πέντε. ἐκ δὲ 662 *τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ σύμπαν ἑπτακαιδεκαταίοισιν. ἔκρινε δὲ τοῖσι πλείστοισιν ἑκταίοις. διέλειπεν ἕξ· ἐκ δὲ τῶν ὑποστροφέων ἔκρινε πεμπταίοις. οἷσι δ᾽ ἔκρινεν ἑβδομαίοισι, διέλειπεν ἑπτά· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τριταίοις. οἷσι δ᾽ ἔκρινεν ἑβδομαίοισι, διαλείποντα τρεῖς ἔκρινεν ἑβδομαίοις. οἷσι δ᾽ ἔκρινεν ἑκταίοισι, διαλείποντα | ἓξ ἐλάμβανε τρισίν,* 664 *διέλειπε μίαν, μίαν ἐλάμβανεν· ἔκρινεν, οἷον Εὐάγοντι τῷ Δαιθάρσεος. οἷσι δ᾽ ἔκρινεν ἑκταίοισι, διέλειπεν ἑπτά, ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινε τετάρτῃ, οἷον τῇ Ἀγλαΐδου θυγατρί. οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων ἐν τῇ καταστάσει ταύτῃ τούτῳ τῷ τρόπῳ διενόσησαν, καὶ οὐδένα οἶδα τῶν περιγενομένων, ᾧτινι οὐχ ὑπέστρεψαν αἱ κατὰ λόγον ὑποστροφαὶ γενόμεναι, καὶ διεσῴζοντο πάντες, οὓς κἀγὼ οἶδα, οἷσιν αἱ ὑποστροφαὶ διὰ τοῦ εἴδεος τούτου γενοίατο. οὐδὲ τῶν διανοσησάντων διὰ τούτου τοῦ τρόπου οὐδενὶ οἶδα ὑποστροφὴν γενομένην πάλιν.*

1 *οἱ* om. V 2 *θέητρον* V *π. τὸ θέρετρον Ἐπιγένεος* [*ἀδ.*]. Ilb. 3 *τῷ* ante *πρεσβ.* om. A, restit. A[3] ϛ (*ἕκτῃ* ut vulg.) V 4 ζ V 5 *καὶ* om. V Gal. in cit. l. l. p. 849 *διέλειπεν* A 7 ε′ pro *ἑκτ.* V 8 ante *διέλ.* add. δ A *διέλιπεν* ζ V 9 *δὲ* V *διέλιπεν ἑβδόμῃ* V 10 *τρίτῃ* V 11 ζ *καὶ διαλείποντα* ˜ V *τρὶς* A ζ′ V 12 ϛ *διαλ.* ϛ′ V γ′ V 13 *διέλ. μίαν· καὶ μίαν* V *ἐκρίνετο* V 14 *δαϊ θαρσέος* A, *Δηϊθαρσέως* V ϛ V 15 ζ′ V, *ἓξ* A 16 *ἀγαΐδου* A 18 *ὅντινα* A, *ὃν* V, *ᾧτινι* Lind., Freind. 19 *κατὰ λόγον αἱ* V 20 *καὶ ἐγὼ* V

21. Ἔθνησκον δὲ τοῖσι νοσήμασι τούτοις οἱ πλεῖ-
στοι ἑκταῖοι, οἷον Ἐπαμεινώνδας καὶ Σιληνὸς καὶ
666 Φιλίσκος ὁ Ἀνταγόρεω. οἷσι δὲ | τὰ παρὰ τὰ ὦτα
γενοίατο, ἔκρινε μὲν εἰκοσταίοισι, κατέσβη δὲ πᾶσι καὶ
οὐκ ἐξεπύησεν, ἀλλ' ἐπὶ κύστιν ἐτράπετο. Κρατιστώ-
νακτι, ὃς παρ' Ἡρακλεῖ ᾤκει, καὶ Σκύμνου τοῦ γνα-
φέως θεραπαίνῃ ἐξεπύησεν· ἀπέθανον. οἷσι δ' ἔκρινεν
ἑβδομαίοισι, διέλειπεν ἐννέα, ὑπέστρεφεν, ἔκρινεν ἐκ
τῆς ὑποστροφῆς τεταρταίοισι — Πανταклεῖ, ὃς ᾤκει
παρὰ Διονύσιον —. οἷσι δ' ἔκρινεν ἑβδομαίοισιν,
διέλειπεν ἕξ· ὑποστροφή· ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρι-
νεν ἑβδομαίοισι — Φανοκρίτῳ, ὃς κατέκειτο παρὰ
Γνάθωνι τῷ γναφεῖ —.

22. Ὑπὸ δὲ χειμῶνα περὶ ἡλίου τροπὰς χειμερινὰς
καὶ μέχρι ἰσημερίης παρέμενον μὲν καὶ οἱ καῦσοι καὶ
τὰ φρενιτικά, καὶ ἔθνησκον πολλοί· αἱ μέντοι κρίσιες
μετέπεσον, καὶ ἔκρινε τοῖσι πλείστοισιν ἐξ ἀρχῆς
668 πεμ|πταίοισι, διέλειπε τέσσαρας, ὑπέστρεφεν, ἐκ δὲ
τῆς ὑποστροφῆς ἔκρινε πεμπταίοισι, τὸ σύμπαν τεσσα-
ρεσκαιδεκαταίοις. ἔκρινε δὲ παιδίοισιν οὕτω τοῖσι
πλείστοισιν, ἀτὰρ καὶ πρεσβυτέροισιν. ἔστι δὲ οἷσιν
ἔκρινεν ἑνδεκαταίοις, ὑποστροφὴ τεσσαρεσκαιδεκαταίοις,
ἔκρινε τελέως εἰκοστῇ. εἰ δέ τινες ἐπερρίγουν περὶ

1 δ' ἐν τοῖσι V τούτοις om. V 2 ἑκταίοις A, ϛ' V ἐπαμινώνδας A, ἐπαμ(ι)εινώνδας V σιδηνὸς A, σίληνος V 3 ἀνταγορέω A 4 γένοιτο R'[1] Erm. 5 ἐτρέπετο AV, ἐτράπ. vulg. κρατίστων ἄκτιος A 6 παρ' ἡρακλειῴκει A, παρὰ ἡρακλείω V 8 ζ' V διέλιπεν A 9 Δ' V ante Παντ. add. οἷον van der Linden, Freind., Erm. παντάκλιος pro Π. ὃς A 10 ζ' V 11 ὑπέστρεφεν V 12 ζ' V ante Φαν. add. οἷον Erm. 17 ἐκρίνετο V 18 ε' V ὑπέστρεφον A 19 ε' V post τὸ add. δὲ V 19. 20 ιδ' V 21 ἔνεστι V 22 ια' V ὑπέστρεφε δ' V 23 εἰκοστή V εἰ ... εἰκοστὴν (199, 1) om. V ἐπὲρίγουν A

τὴν εἰκοστήν, τούτοισιν ἔκρινε τεσσαρακοσταίοις. ἐπερρίγουν δ' οἱ πλεῖστοι περὶ κρίσιν τὴν ἐξ ἀρχῆς· οἱ δ' ἐπιρριγώσαντες ἐξ ἀρχῆς περὶ κρίσιν, καὶ ἐν τῇσιν ὑποστροφῇσιν ἅμα κρίσει. ἐρρίγουν δ' ἐλάχιστοι μὲν τοῦ ἦρος, θέρεος πλείους, φθινοπώρου ἔτι πλείους, ὑπὸ δὲ χειμῶνα πολὺ πλεῖστοι. αἱ δὲ αἱμορραγίαι ὑπέληγον.

---

23. *Τὰ δὲ περὶ τὰ νοσήματα, ἐξ ὧν διεγινώσκομεν, μαθόντες ἐκ τῆς κοινῆς φύσιος ἁπάντων καὶ τῆς ἰδίης* 670 *ἑκάστου, ἐκ τοῦ νοσήματος, ἐκ τοῦ νοσέοντος, ἐκ τῶν προσφερομένων, ἐκ τοῦ προσφέροντος — ἐπὶ τὸ ῥᾷον γὰρ καὶ χαλεπώτερον ἐκ τούτων —, ἐκ τῆς καταστάσιος ὅλης καὶ κατὰ μέρεα τῶν οὐρανίων καὶ χώρης ἑκάστης, ἐκ τοῦ ἔθεος, ἐκ τῆς διαίτης, ἐκ τῶν ἐπιτηδευμάτων, ἐκ τῆς ἡλικίης ἑκάστου, λόγοισι, τρόποισι, σιγῇ, διανοήμασιν, ὕπνοισιν, οὐχ ὕπνοισιν, ἐνυπνίοισι, οἵοισι καὶ ὅτε, τιλμοῖσι, κνησμοῖσι, δάκρυσιν, ἐκ τῶν παροξυσμῶν, διαχωρήμασιν, οὔροισιν, πτυάλοισιν, ἐμέτοισι, καὶ ὅσαι ἐξ οἵων ἐς οἷα διαδοχαὶ νοσημάτων καὶ ἀποστάσιες ἐπὶ τὸ ὀλέθριον καὶ κρίσιμον, ἱδρώς, ῥῖγος, ψύξις, βήξ, πταρμοί, λυγμοί, πνεύματα, ἐρεύξιες, φῦσαι,*

1 *μ'* V *ἐπερίγουν* AV 2. 3 *δ' ἐπεριριγώσαντες* A 3 *ἐπιριγώσ.* V *ἐξαρχῆς* A 4 *ἐπερίγουν* V 5 *φθινωπ.* A 6 *χειμῶνος* A *δ' αἱμ.* V 8 *τμῆμα τρίτον* in tit. V *ὅσα χρὴ σκέπτεσθαι τὸν ἰατρόν* i. m. V, *ὅρα καὶ μάνθανε ὡς περὶ τῆς κοινῆς καὶ ἰδίας ἑκάστου ἡμῶν φύσεως καὶ τῶν παντοδαπῶν νοσημάτων καὶ συμπτωμάτων τὰς διαγνόσεις* A[2] i. m. 12 *ῥᾷστον* mut. in *ῥᾷον* A 13 *χαλεπώτατον* A *τούτου* A, *υ* alterum effecit A[2] 14 *κατὰ* sine *καὶ* A mut. in *καὶ τὰ* 17 *ἐν ὑπν.* A *ἐνυπνίοις τοίοισι* V 18 ante *κνησμ.* add. *καὶ* A *δακρύοισιν* V 20 *ἐξίων* A, mut. A[2] in *ἐξ οἵων* 21 *ῥίγος* A *ψύξις· ῥίγος* V 22 *φύσαι* V

σιγῶσαι, ψοφώδεες, αἱμορραγίαι, αἱμορροΐδες. ἐκ τούτων καὶ ὅσα διὰ τούτων σκεπτέον.

24. Πυρετοὶ οἱ μὲν συνεχέες, οἱ δ' ἡμέρην ἔχουσι, |
672 νύκτα διαλείπουσι, νύκτα ἔχουσιν, ἡμέρην διαλείπουσιν· ἡμιτριταῖοι, τριταῖοι, τεταρταῖοι, πεμπταῖοι, ἑβδομαῖοι, ἐναταῖοι. εἰσὶ δὲ ὀξύταται μὲν καὶ μέγισται καὶ χαλεπώταται νοῦσοι καὶ θανατωδέσταται ἐν τῷ συνεχεῖ πυρετῷ. ἀσφαλέστατος δὲ πάντων καὶ ῥήϊστος καὶ μακρότατος πάντων ὁ τεταρταῖος· οὐ γὰρ μοῦνον αὐτὸς ἐφ' ἑωυτοῦ τοιοῦτός ἐστιν, ἀλλὰ καὶ νοσημάτων ἑτέρων μεγάλων ῥύεται. ἐν δὲ τῷ ἡμιτριταίῳ καλεομένῳ συμπίπτει μὲν καὶ ὀξέα νοσήματα γίνεσθαι, καὶ ἔστι τῶν λοιπῶν οὗτος θανατωδέστατος· ἀτὰρ καὶ φθινώδεες καὶ ὅσοι ἄλλα μακρότερα νοσήματα νοσέουσιν, ἐπὶ τούτῳ μάλιστα νοσέουσι. νυκτερινὸς οὐ λίην θανατώδης, μακρὸς δέ. ἡμερινὸς μακρότερος· ἔστι δ' οἷσι ῥέπει καὶ ἐπὶ τὸ φθινῶδες. ἑβδομαῖος μακρός, οὐ θανατώδης. ἐναταῖος ἔτι μακρότερος, οὐ θανατώδης. τριταῖος ἀκριβὴς ταχυκρίσιμος καὶ οὐ θανατώδης. ὁ δὲ πεμπταῖος πάντων μὲν κάκιστος· καὶ γὰρ πρὸ φθίσιος καὶ ἤδη φθίνουσιν ἐπιγινόμενος κτείνει.

676 25. Εἰσὶ δὲ τρόποι καὶ καταστάσιες καὶ παρο|ξυσμοὶ τούτων ἑκάστου τῶν πυρετῶν. αὐτίκα γὰρ συνεχὴς

1 σιγώδεες V 3 δ' ἡμερίην A δὲ V 4 νύκτα ... διαλείπουσιν om. A 6 ἐνναταίοισιν· εἰσὶ δὲ V, ἐναταῖοι· οἷσι δὲ A 7 θανατώδεες V 8 περὶ τῶν διαλιπόντων i. m. A² 8. 9 καὶ μακρ. πάντων om. V 9 μόνος A ἀφ' V 10 ἑαυτοῦ A ἑτέρω V, ν ss. V² 14 ὅσα V 15 ἐπὶ τ. μ. νοσ. om. A, ἐ. τούτου τοῦ πυρετοῦ V 16 δὲ οἷσι V 18 ἐνναταῖος V ἔτι om. V post μακρ. add. καὶ V 19 ταχὺ κρίσιμος V 20 γὰρ pro δὲ A περὶ πεμπτέου i. m. A² μὲν om. Gal. i. t. κακὸς A, κάκιος V 21 φθινεῦσιν V κτίνει A 23 post πυρ. add. ὁμοίως ξυνεχέων διαλιπόντων V

*ἔστιν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει μάλιστα καὶ
ἀνάγει ἐπὶ τὸ χαλεπώτατον, περὶ δὲ κρίσιν καὶ ἅμα
κρίσει λεπτύνεται· ἔστι δ' οἷσιν ἄρχεται μαλακῶς καὶ
ὑποβρύχια, ἐπαναδιδοῖ δὲ καὶ παροξύνεται καθ' ἡμέ-
ρην ἑκάστην, περὶ δὲ κρίσιν ἅλις ἐξέλαμψεν· ἔστι
δ' οἷσιν ἀρχόμενος πρηέως ἐπιδιδοῖ καὶ παροξύνεται
καὶ μέχρι τινὸς ἀκμάσας πάλιν ὑφίησι μέχρι κρίσιος
καὶ περὶ κρίσιν. συμπίπτει δὲ ταῦτα γίνεσθαι ἐπὶ
παντὸς πυρετοῦ καὶ νοσήματος. δεῖ δὲ καὶ τὰ διαιτή-
ματα σκοπεύμενον ἐκ τούτων προσφέρειν. πολλὰ δὲ
καὶ ἄλλα ἐπίκαιρα σημεῖα τούτοις ἐστὶν ἠδελφισμένα,
περὶ ὧν τὰ μέν που γέγραπται, τὰ δὲ καὶ γεγράψε-
ται. | πρὸς ἃ δεῖ διαλογιζόμενον δοκιμάζειν καὶ σκο-* 678
*πεῖσθαι, τίνι τούτων ὀξὺ καὶ θανατῶδες ἢ περιεστι-
κὸν καὶ τίνι μακρὸν καὶ θανατῶδες ἢ περιεστικὸν καὶ
τίνι προσαρτέον ἢ οὒ καὶ πότε καὶ πόσον καὶ τί τὸ
προσφερόμενον ἔσται.*

26. *Τὰ δὲ παροξυνόμενα ἐν ἀρτίῃσι κρίνεται ἐν
ἀρτίῃσιν· ὧν δὲ οἱ παροξυσμοὶ ἐν περισσῇσι, κρίνεται
ἐν περισσῇσιν. ἔστι δὲ πρώτη περίοδος τῶν ἐν τῇσιν
ἀρτίῃσι κρινόντων τετάρτη, ἕκτη, ὀγδόη, δεκάτη, τεσ-
σαρεσκαιδεκάτη, εἰκοστή, τετάρτη καὶ εἰκοστή, τρια-
κοστή, τεσσαρακοστή, ἑξηκοστή, ὀγδοηκοστή, εἰκοστὴ* 680
καὶ ἑκατοστή· τῶν δ' ἐν τῇσι περισσῇσι κρινόντων

2 *χαλεπώτερον* V *ἀνὰ* A 3 *ἀπολεπτύνεται* V *δὲ* V *μαλακός τε κ. ὑποβρύχιος* Gal. in cit. IX 560, Littr. 4 *ἐπαναδίδοι* A ante *καθ'* add. *καὶ* A 5 post *κρίσ.* add. *καὶ ἅμα κρίσει* V *ἅλοις* A, *ἀλλήσει* V pro *ἅλις*, *ἀλὴς* Blass 9 ante *νοσ.* add. *παντὸς* V *καὶ τὰ* ss. A non pr. m., *καὶ* om., *τὰ* ss. V

12 ante *γέγραπται* add. *τι* AV *καὶ* om. V *γε γράψεται* A, *γεγράφαται* V 13 *δεῖ* om. A 15 *κ. τ. μ. κ. θ. ἢ π.* om. V 16 *προσακτέον* V *τὸ* om. A 20 *κρίσιμος τῶν περιόδων ἐν τῇσιν ἀρτίῃσι κρ.* V 23 *ἑκατοστὴ εἰκοστή* V

περίοδος πρώτη, τρίτη, πέμπτη, ἑβδόμη, ἐνάτη, ἑνδεκάτη, ἑπτακαιδεκάτη, εἰκοστὴ πρώτη, εἰκοστὴ ἑβδόμη, τριακοστὴ πρώτη. εἰδέναι δὲ χρὴ ἔτι, ἢν ἄλλως κριθῇ ἔξω τῶν ὑπογεγραμμένων, ἐσομένας ὑποστροφάς· γένοιτο δὲ ἂν καὶ ὀλέθρια. δεῖ δὴ προσέχειν τὸν νόον καὶ εἰδέναι ἐν τοῖσι χρόνοισι τούτοισι τὰς κρίσιας ἐσομένας ἐπὶ σωτηρίην ἢ ὄλεθρον ἢ ῥοπὰς ἐπὶ τὸ ἄμεινον ἢ τὸ χεῖρον. πλάνητες δὲ πυρετοὶ καὶ τεταρ-|
682 ταῖοι καὶ πεμπταῖοι καὶ ἑβδομαῖοι καὶ ἐναταῖοι, ἐν ᾗσι περιόδοισι κρίνονται, σκεπτέον.

[ἄρρωστοι τεσσαρεσκαίδεκα.]

α΄. Φιλίσκος ᾤκει παρὰ τὸ τεῖχος. κατεκλίνη, τῇ πρώτῃ πυρετὸς ὀξύς, ἵδρωσεν, ἐς νύκτα ἐπιπόνως. δευτέρῃ πάντα παρωξύνθη, ὀψὲ δὲ ἀπὸ κλυσματίου καλῶς διῆλθε· νύκτα δι' ἡσυχίης. τρίτῃ πρωὶ καὶ μέχρι μέσου ἡμέρης ἔδοξε γενέσθαι ἄπυρος, πρὸς δείλην δὲ πυρετὸς ὀξὺς μετὰ ἱδρῶτος, διψώδης, γλῶσσα ἐπεξηραίνετο, μέλανα οὔρησε· νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, πάντα παρέκρουσε. τετάρτῃ πάντα παρωξύνθη, οὖρα μέλανα· νύκτα εὐφορωτέρην, οὖρα εὐχροώτερα. πέμπτῃ περὶ μέσον ἡμέρης σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν ἄκρητον· οὖρα δὲ ποικίλα, ἔχοντα ἐναιωρήματα στρογ-|

1 περιόδων V ἐννάτη V ἑνδεκάτη om. A 2 ἑπτακαιδ. om. V 3 ὅτι codd., scripsi ἔτι 5 δ' V 6 χρονίοισι V 7 σωτηρίη A εἴτε ὀλέθριον A, ἢ τὸ ὀλέθριον V, ὄλεθρον R' Gal. i. t. et in cit. XVII, II 505 8 πλανῆτες V 9 ἐνναт. V 10 τῇσι A 11 ἄρρ. τεσσ. rec., om. AV 12 ἄρρωστος ᾱ V -κλίθη codd. 14 παροξύνθη A κλύσματι οὐ A 16 πυρετὸς V

17 ante ἐπεξηρ. add. δὴ V ἀπεξηραίνετο A 18 δυσφόρως (ο ss.) A, δύσφορος Gal. in cit. VII 831 20 εὐφορωτέρη/// A εὐχρούστερα V 21 μέσσον A 22 ἐνεωρήματα (αι ss.) A, αι ss. A[3]

γύλα, γονοειδέα, διεσπασμένα, οὐχ ἱδρύετο· προσθε- 684
μένῳ δὲ βάλανον φυσώδεα σμικρὰ διῆλθε. νύκτα ἐπι-
πόνως, ὕπνοι σμικροί, λόγοι, λῆρος, ἄκρεα πάντοθεν
ψυχρὰ καὶ οὐκέτι ἀναθερμαινόμενα, οὔρησε μέλανα,
ἐκοιμήθη σμικρὰ πρὸς ἡμέρην, ἄφωνος, ἵδρωσε ψυχρῷ,
ἄκρεα πελιδνά. περὶ δὲ μέσον ἡμέρης ἑκταῖος ἀπέ-
θανεν. τούτῳ πνεῦμα διὰ τέλεος, ὥσπερ ἀνακαλεο-
μένῳ, ἀραιὸν μέγα· σπλὴν ἐπήρθη περιφερεῖ κυρτώ-
ματι, ἱδρῶτες ψυχροὶ διὰ τέλεος. οἱ παροξυσμοὶ ἐν
ἀρτίῃσιν.

β΄. Σιληνὸς ᾤκει ἐπὶ τοῦ πλαταμῶνος πλησίον τῶν
Εὐαλκίδεω. ἐκ κόπων καὶ πότων καὶ γυμνασίων ἀκαί-
ρων πῦρ ἔλαβεν. ἤρξατο δὲ πονεῖν κατ᾽ ὀσφῦν· καὶ
κεφαλῆς βάρος καὶ τραχήλου σύντασις. ἀπὸ δὲ κοι-
λίης τῇ πρώτῃ χολώδεα, ἄκρητα, ἔπαφρα, κατακορέα
πολλὰ διῆλθεν· οὖρα μέλανα, μέλαιναν ὑπόστασιν
ἔχοντα, διψώδης, γλῶσσα ἐπίξηρος, νυκτὸς οὐδὲν
ἐκοιμήθη. δευτέρῃ πυρετὸς ὀξύς, διαχωρήματα πλείω, 686
λεπτότερα, ἔπαφρα, οὖρα μέλανα, νύκτα δυσφόρως,
σμικρὰ παρέκρουσε. τρίτῃ πάντα παρωξύνθη· ὑποχον-
δρίου σύντασις ἐξ ἀμφοτέρων παραμήκης πρὸς ὀμφα-
λόν, ὑπολάπαρος· διαχωρήματα λεπτά, ὑπομέλανα, οὖρα
θολερά, ὑπομέλανα, νυκτὸς οὐδὲν ἐκοιμήθη, λόγοι

1 ἵδρυτο V προσθέμενον sine δὲ A 2 ἐπίπονος, ὕπνου A 3 ἄκραια mut. A[3] in ἄκρεα ut solet πανταχόθεν A 4 οὐκ ἔτι ἐπαναθερμ. V 5 ψυχρῶ AV, ψυχρὸν vulg. 7 τοῦτο mut. A[3] in τούτῳ διατέλεος A ἀνακαλουμέγα V (acc. ss. V[2] ut videtur) 8 ante μέγα add. γὰρ A 11 ἄρρωστος β΄ V σίληνος V 12 εὐαλκίδου V ποτῶν A ἀπὸ τῶν pro πότων καὶ V 13 καὶ ὀσφῦς A, καὶ ὀσφῦν V, scripsi κατ᾽ ὀ. 15 κατακόρεα AV 17 οὐδ᾽ ἂν V 19 δυσφόρως (ο ss.) A 20 πάντα om. A 21 ἀμφοῖν V 22 ὑπὸ λαπάρας A 22. 23 οὖρα θολ., ὑπ. om. V 23 νύκτα V

πολλοί, γέλως, ᾠδή, κατέχειν οὐκ ἠδύνατο. τετάρτη διὰ τῶν αὐτῶν. πέμπτη διαχωρήματα ἄκρητα, χολώδεα, λεῖα, λιπαρά, οὖρα λεπτά, διαφανέα· σμικρὰ κατενόει. ἕκτη περὶ κεφαλὴν σμικρὰ ἐφίδρωσεν, ἄκρεα ψυχρά, πελιδνά, πολὺς βληστρισμός, ἀπὸ κοιλίης οὐδὲν διῆλθεν, οὖρα ἐπέστη. πυρετὸς ὀξύς. ἑβδόμῃ ἄφωνος, ἄκρεα οὐκέτι ἀνεθερμαίνετο, οὔρησεν οὐδέν. ὀγδόῃ ἵδρωσεν δι᾽ ὅλου ψυχρῷ· ἐξανθήματα μετὰ ἱδρῶτος ἐρυθρά, στρογγύλα, σμικρὰ οἷον ἴονθοι, παρέμενεν, οὐ καθίστατο· ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ σμικρῷ κόπρανα λεπτά, οἷα ἄπεπτα, πολλὰ διῄει μετὰ πόνου· οὔρει μετ᾽ ὀδύνης | 688 δακνώδεα· ἄκρεα σμικρὰ ἀνεθερμαίνετο, ὕπνοι λεπτοί, κωματώδης, ἄφωνος, οὖρα λεπτὰ διαφανέα. ἐνάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ ποτὰ οὐκ ἐδέχετο, κωματώδης, ὕπνοι λεπτοί· ἀπὸ δὲ κοιλίης ὅμοια, οὔρησεν ἀθρόον ὑπόπαχυ· κειμένῳ ὑπόστασις κριμνώδης λευκή, ἄκρεα πάλιν ψυχρά. ἑνδεκάτῃ ἀπέθανεν. ἐξ ἀρχῆς τούτῳ καὶ διὰ τέλεος πνεῦμα ἀραιόν, μέγα. ὑποχονδρίου παλμὸς συνεχής, ἡλικίη ὡς περὶ ἔτεα εἴκοσιν.

γ′. Ἡροφῶντι πυρετὸς ὀξύς, ἀπὸ κοιλίης ὀλίγα, τεινεσμώδεα κατ᾽ ἀρχάς, μετὰ δὲ λεπτὰ διῄει χολώδεα, ὑπόσυχνα· ὕπνοι οὐκ ἐνῆσαν, οὖρα μέλανα λεπτά. πέμπτῃ πρωὶ κώφωσις, παρωξύνθη πάντα, σπλὴν

1 ᾦδὴ A 3 διαλίπαρα pro λεῖα λίπ. A 4 ἀφίδρωσεν V 7 οὐκ ἔτι V 8 διόλου A ψυχρῶ A, ψυχρὼ V 9 οἷα 11 ἀπέπτω A 12 ante σμ. add. λεπτὰ καὶ V 13 κωματώδεες A, κωμματώδεες (ut infra quoque) V 14 ἐννάτη V κατεδέχετο pro οὐκ ἐδ. A 16 ὑπὸ παχὺ A, ὑπὸ παχεῖ V κρημνώδης ut solet V, sed h. l. eadem manu mut. ex κριμν. 18 τοὔ (τ supra) A διατέλεος A 20 ἄρρωστος γ̂ i. t. V ἡροφῶντι mut. A[2] in εὐροφ., i. m. ἡροφῶντι A[3] 21 τϊ(corr. ει)νεσμ. A, τηνεσμ. V καταρχὰς A post δὲ add. ταῦτα V 22 ὕπνοι ... λεπτά om. A 23 παροξύνθη A

ἐπήρθη, ὑποχονδρίου σύντασις, ἀπὸ κοιλίης ὀλίγα διῆλθε μέλανα, παρεφρόνησεν. ἕκτῃ ἐλήρει, ἐς νύκτα ἱδρώς, ψύξις, παράληρος παρέμενεν. ἑβδόμῃ περιέψυκτο, διψώδης, | παρέκρουσε. νύκτα κατενόει, κατεκοιμήθη. 690
ὀγδόῃ ἐπύρεσσεν, σπλὴν ἐμειοῦτο, κατενόει πάντα, ἤλγησεν τὸ πρῶτον κατὰ βουβῶνα, σπληνὸς κατ' ἴξιν, ἔπειτα δὲ πόνοι ἐς ἀμφοτέρας κνήμας. νύκτα εὐφόρως, οὖρα εὐχροώτερα, ὑπόστασιν εἶχε σμικρήν. ἐνάτῃ ἵδρωσεν, ἐκρίθη, διέλιπεν. πέμπτῃ ὑπέστρεψεν. αὐτίκα δὲ σπλὴν ἐπήρθη, πυρετὸς ὀξύς, κώφωσις πάλιν· μετὰ δὲ τὴν ὑποστροφὴν τρίτῃ σπλὴν ἐμειοῦτο, κώφωσις ἧσσον, σκέλεα ἐπωδύνως· νύκτα ἵδρωσεν. ἐκρίθη περὶ ἑπτακαιδεκάτην· οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ.

δ'. Ἐν Θάσῳ Φιλίνου γυναῖκα θυγατέρα τεκοῦσαν κατὰ φύσιν καθάρσιος γενομένης καὶ τὰ ἄλλα κούφως διάγουσαν, τεσσαρεσκαιδεκαταίην ἐοῦσαν μετὰ τὸν τόκον, πῦρ ἔλαβε μετὰ ῥίγεος· ἤλγει δὲ ἀρχομένη καρδίην καὶ ὑποχόνδριον δεξιόν· γυναικείων πόνοι· κάθαρσις ἐπαύσατο. προσθεμένῃ δὲ ταῦτα μὲν ἐκουφίσθη, κεφαλῆς | δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνοι παρέ- 692
μενον, ὕπνοι οὐκ ἐνῆσαν, ἄκρεα ψυχρά, διψώδης, κοιλίη συνεκαύθη, σμικρὰ διήει, οὖρα λεπτά, ἄχρω κατ' ἀρχάς. ἑκταίη ἐς νύκτα παρέκρουσε πολλὰ καὶ

2 μέλανα διῆλθε V 3 λῆρος V 6 κατὰ βουβῶνα· ἔπαρμα τὸ πρῶτον σπλ. V ἶξιν V 7 ἔπειτα ἐπόνει V εὐφόρ$\overset{\text{ο}}{\text{ω}}$ς A, εὔφορος V 8 εὐχρούστερα V ἐννάτη V 9 διέλειπεν A ὑπέστρεψεν mut. A[2] in -ψαν 11 ἐμιοῦτο, corr. A[3] in ἐμειοῦτο 12 ἐπώδυνος V περὶ om. V 13 ἑπτακαιδεκάτη V 14 ἄρρωστος Δ' i. t. V 15 τ' ἄλλα V 16 τεσσαρεσκαιδεκάτην V ιξ A τὸν om. Gal. i. t. 18 ante ὑποχ. add. περὶ V γυναικεῖον V 22 ἄχρ$\overset{\text{α}}{\text{ω}}$ A, α ss. A[3], ἄχροια V 23 καταρχὰς A ut solet

πάλιν κατενόει. ἑβδόμῃ διψώδης, διαχωρήματα ὀλίγα χολώδεα κατακορέα. ὀγδόῃ ἐπερρίγωσεν, πυρετὸς ὀξύς, σπασμοὶ πολλοὶ μετὰ πόνου, πολλὰ παρέλεγεν· ἐξανίστατο βάλανον προσθεμένη· πολλὰ διῆλθε μετὰ περιρρόου χολώδεος· ὕπνοι οὐκ ἐνῆσαν. ἐνάτῃ σπασμοί. δεκάτῃ σμικρὰ κατενόει. ἑνδεκάτῃ ἐκοιμήθη, πάντων ἀνεμνήσθη, ταχὺ δὲ πάλιν παρέκρουσεν· οὔρει δὲ μετὰ σπασμῶν ἀθρόον πολὺ ὀλιγάκις ἀναμιμνησκόντων παχὺ λευκόν, οἷον γίνεται ἐκ τῶν καθισταμένων, ὅταν ἀναταραχθῇ· κείμενον πολὺν χρόνον οὐ καθίστατο· χρῶμα καὶ πάχος ἴκελον οἷον γίνεται ὑποζυγίου. τοιαῦτα οὔρει, οἷα κἀγὼ εἶδον. περὶ τεσσαρεσκαιδεκάτην ἐούσῃ παλμὸς δι᾽ ὅλου τοῦ σώματος, λόγοι πολλοί, σμικρὰ κατενόει· διὰ ταχέων δὲ πάλιν παρέκρουσεν.
694 περὶ δὲ | ἑπτακαιδεκάτην ἐοῦσα ἄφωνος. εἰκοστῇ ἀπέθανε.

ε΄. Ἐπικράτεος γυναῖκα, ἣ κατέκειτο παρὰ ἀρχηγέτην, περὶ τόκον ἐοῦσαν ῥῖγος ἔλαβεν ἰσχυρῶς, οὐκ ἐθερμάνθη, ὡς ἔλεγον, καὶ τῇ ὑστεραίῃ τὰ αὐτά. τρίτῃ δ᾽ ἔτεκεν θυγατέρα καὶ τἄλλα πάντα κατὰ λόγον ἦλθε. δευτεραίην μετὰ τὸν τόκον ἔλαβε πυρετὸς ὀξύς, καρδίης πόνος καὶ γυναικείων. προσθεμένῃ δὲ ταῦτα μὲν ἐκουφίσθη, κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνος· ὕπνοι οὐκ ἐνῆσαν· ἀπὸ δὲ κοιλίης ὀλίγα χολώδεα λεπτὰ διῄει ἄκρητα· οὖρα λεπτὰ ὑπομέλανα. ἀφ᾽ ἧς

1 ὀλίγα om. V 2 κατακόρεα AV 3 παρέληγεν V 5 ἐννάτῃ V 6 ἑνδεκάτῃ ἐκοιμήθη om. A 9 ὁκοῖον V 12 ὅσα A post περὶ add. δὲ V 13 παλμοὶ V, πόνοι Gal. i. t. 14 διαταχέων A παρέκρουε V 15 ἐοῦσαν A εὔφωνος V 17 ἄρρωστος ε̂ i. t. V 18 ῥίγος V 19 καὶ τῇ δ᾽ ὑστ. ταῦτα A 20 τ᾽ ἄλλα V 21 δευτέρῃ V τὸν om. V 22 πόνος ex πόνων corr. V 23 ὀσφ. καὶ τρ. V 24 ante ὕπνοι add. καὶ A 25 ἄκριτα V ἀφῆς V

δὲ ἔλαβε τὸ πῦρ, ἐς νύκτα ἑκταίη παρέκρουσεν. ἑβδο-
μαίη πάντα παρωξύνθη, ἄγρυπνος, παρέκρουσεν, διψώ-
δης, διαχωρήματα χολώδεα κατακορέα. ὀγδόῃ ἐπερρί-
γωσεν καὶ ἐκοιμήθη πλείω. ἐνάτῃ διὰ τῶν αὐτῶν.
δεκάτῃ σκέλεα ἐπιπόνως ἤλγει, καρδίης πάλιν ὀδύνη,
καρηβαρίη, οὐ παρέκρουεν, | ἐκοιμᾶτο μᾶλλον, κοιλίη 696
ἐπέστη. ἑνδεκάτῃ οὔρησεν εὐχροώτερα συχνὴν ὑπό-
στασιν ἔχοντα· διῆγε κουφότερον. τεσσαρεσκαιδεκάτῃ
ἐπερρίγωσεν, πυρετὸς ὀξύς. πεντεκαιδεκάτῃ ἤμεσε χο-
λώδεα ξανθὰ ὑπόσυχνα, ἵδρωσεν ἄπυρος, ἐς νύκτα δὲ
πυρετὸς ὀξύς, οὖρα πάχος ἔχοντα, ὑπόστασις λευκή.
ἑξκαιδεκάτῃ παρωξύνθη· νύκτα δυσφόρως· οὐχ ὕπνω-
σεν· παρέκρουσεν. ὀκτωκαιδεκάτῃ διψώδης, γλῶσσα
ἐπεκαύθη, οὐχ ὕπνωσεν, παρέκρουσε πολλά, σκέλεα
ἐπωδύνως εἶχεν. περὶ δὲ εἰκοστὴν πρωὶ σμικρὰ ἐπερ-
ρίγωσεν, κωματώδης, δι' ἡσυχίης ὕπνωσεν, ἤμεσε χο-
λώδεα ὀλίγα μέλανα, ἐς νύκτα κώφωσις. περὶ δὲ
πρώτην καὶ εἰκοστὴν πλευροῦ ἀριστεροῦ βάρος δι' ὅλου
μετ' ὀδύνης, σμικρὰ ὑπέβησσεν· οὖρα δὲ πάχος ἔχοντα,
θολερά, ὑπέρυθρα· κείμενα οὐ καθίστατο· τὰ δ' ἄλλα
κουφοτέρως· οὐκ ἄπυρος. αὕτη ἐξ ἀρχῆς φάρυγγα
ἐπώδυνος· ἔρευθος· κίων ἀνεσπασμένος· ῥεῦμα δριμύ,
δακνῶδες, ἁλ|μυρῶδες διὰ τέλεος παρέμενεν. περὶ δὲ 698
εἰκοστὴν ἑβδόμην ἄπυρος, οὔροισιν ὑπόστασις, πλευ-

1 *ἑβδόμῃ* V 2 *παροξύνθη* A, ut saepius 3 *κατακόρεα* AV *ἐπερίγωσεν* V 4 *καὶ* om. V *ἐννάτῃ* V 5 *ἐπιπόνο*(corr. *ω*)*ς* A 7 *ὑπέστη* A *ἡσυχῇ* pro *συχνὴν* (vulg. Gal.) AV 10 *ἀπύρετος* V 12 *ἓξ καὶ ι* A, *ἑξκαιδεκάτῃ* V 16 *κωμμ.* V 18 *καὶ* pro *δι'* A 20 *ὑπέρυθρα* mut. in *ὑπέρρ.* A 21 *ἀπύρως* A ab alia manu ex *ἄπυρος* *αὐτὴ* V *φάρυγα* alterum *γ* ss. A[2] 22 *ἐπωδύνος* (ω ss.) A, *ἐπωδύνως* V *κιὼν* V 23 *διατέλεος* A 24 *οὔροισιην*, *η* induxit A[4], sub *οι* apparet *η* manus 2

ρὸν ὑπήλγει. περὶ δὲ πρώτην καὶ τριακοστὴν πῦρ ἔλαβεν, κοιλίη χολώδεσιν ἐπεταράχθη. τεσσαρακοστῇ ἤμεσεν ὀλίγα χολώδεα. ἐκρίθη τελέως ἄπυρος ὀγδοηκοστῇ.

ϛ′. *Κλεανακτίδην, ὃς κατέκειτο ἐπάνω τοῦ Ἡρακλείου, πῦρ ἔλαβε πεπλανημένως· ἤλγει δὲ κεφαλὴν ἐξ ἀρχῆς καὶ πλευρὸν ἀριστερόν, καὶ τῶν ἄλλων πόνοι κοπιώδεα τρόπον· οἱ πυρετοὶ παροξυνόμενοι ἄλλοτ' ἀλλοίως, ἀτάκτως· ἱδρῶτες ὅτε μέν, ὅτε δ' οὔ· τὰ μὲν πλεῖστα ἐπεσήμαινον οἱ παροξυσμοὶ ἐν κρισίμοις μάλιστα. περὶ δὲ εἰκοστὴν τετάρτην χεῖρας ἄκρας ἐπόνησεν, ἤμεσε χολώδεα ξανθά, ὑπόσυχνα, μετ' ὀλίγον δὲ ἰώδεα· πάντων ἐκουφίσθη. περὶ δὲ τριακοστὴν ἐόντι ἤρξατο ἀπὸ ῥινῶν αἱμορραγεῖν ἐξ ἀμφοτέρων καὶ ταῦτα πεπλανημένως κατ' ὀλίγον μέχρι κρίσιος· οὐκ*
700 *ἀπόσιτος οὐδὲ διψώδης παρὰ πάντα τὸν χρόνον | οὐδ' ἄγρυπνος· οὖρα δὲ λεπτά, οὐκ ἄχρω. περὶ δὲ τεσσαρακοστὴν ἐὼν οὔρησεν ὑπέρυθρα ὑπόστασιν πολλὴν ἐρυθρὴν ἔχοντα· ἐκουφίσθη. μετὰ δὲ ποικίλως τὰ τῶν οὔρων· ὅτε μὲν ὑπόστασιν εἶχεν, ὅτε δ' οὔ. ἑξηκοστῇ οὔροισιν ὑπόστασις πολλὴ καὶ λευκὴ καὶ λείη, συνέδωκε πάντα, πυρετοὶ διέλιπον, οὖρα δὲ πάλιν λεπτὰ μέν, εὔχρω δέ. ἑβδομηκοστῇ πυρετός, διέλειπεν*

1. 2 *παρέλαβεν* A, mut. A² in *παρέλεγεν*, *πῦρ ἐλάβετο* V, *π. ἔλαβε* Gal. i. t. 2 *ὑπεταράχθη* V 2. 3 *ἤμεσε τεσσαρακοστῇ ὀλ.* V 3 *τελέος* A *ὀγδοήκοστήν* V 5 *ἄρρωστος* ϛ′ i. t. V 7 *ἐξαρχῆς* A 8 *ἄλλοτ'* om. V 11 *ἐψύχετο* pro *ἐπόν.* V 13 *ἐκουφίσθηι* (*ι* add. alia man.) A 15 *κατολίγον* A 16 *οὐδὲ* V 17 *ἄχρῶ*, *α* ss. A², *ἄχροα* V 18 *ὑπέρρυθρα* A post *πολλὴν* add. *λείην* V 19 post *δὲ* add. *ταῦτα* V 20 *δὲ οὔ* V *ἐξ* A, *ἑξηκοστὴ* V 21 *οὔρησεν* A *πολλὴ καὶ* om. V 22. 23 *οὖρα λεπτὰ μὲν πάλιν* V 23 *εὔχρωα*, *α* add. A², *εὔχροα* V *ἄπυρος* V *διέλιπεν* V

ἡμέρας δέκα. ὀγδοηκοστῇ ἐρρίγωσε, πυρετὸς ὀξὺς ἔλαβεν· ἵδρωσεν πολλῷ· οὔροισιν ὑπόστασις ἐρυθρή, λείη. τελέως ἐκρίθη.

ζ'. Μέτωνα πῦρ ἔλαβεν, ὀσφύος βάρος ἐπώδυνον. δευτέρῃ ὕδωρ πιόντι ὑπόσυχνον ἀπὸ κοιλίης καλῶς διῆλθε. τρίτῃ κεφαλῆς βάρος, διαχωρήματα λεπτά, χολώδεα, ὑπέρυθρα. τετάρτῃ πάντα παρωξύνθη, | ἐρρύη ἀπὸ δεξιοῦ δὶς κατ' ὀλίγον. νύκτα δυσφόρως, 702
διαχωρήματα ὅμοια τῇ τρίτῃ, οὖρα ὑπομέλανα· εἶχεν ἐναιώρημα ὑπόμελαν ἐόν, διεσπασμένον· οὐχ ἱδρύετο. πέμπτῃ ἐρρύη λάβρον ἐξ ἀριστεροῦ ἄκρητον, ἵδρωσεν, ἐκρίθη. μετὰ κρίσιν ἄγρυπνος, παρέλεγεν, οὖρα λεπτὰ ὑπομέλανα. λουτροῖσιν ἐχρήσατο κατὰ κεφαλῆς, ἐκοιμήθη, κατενόει. τούτῳ οὐχ ὑπέστρεψεν, ἀλλ' ἡμορράγει πολλάκις μετὰ κρίσιν.

η'. Ἐρασῖνος ᾤκει παρὰ Βοώτεω χαράδρην. πῦρ ἔλαβεν μετὰ δεῖπνον, νύκτα ταραχώδης. ἡμέρην τὴν πρώτην δι' ἡσυχίης, νύκτα ἐπιπόνως. δευτέρῃ πάντα παρωξύνθη, ἐς νύκτα παρέκρουσε. τρίτῃ ἐπιπόνως, πολλὰ παρέκρουσε. τετάρτῃ δυσφορώτατα· ἐς δὲ τὴν νύκτα οὐδὲν ἐκοιμήθη· ἐνύπνια καὶ λογισμοί· ἔπειτα χείρω, μεγάλα καὶ ἐπίκαιρα, φόβος, δυσφορίη. πέμπτῃ πρωῒ κατήρτητο· κατενόει πάντα· πολὺ δὲ πρὸ μέσου ἡμέρης ἐξεμάνη, κατέχειν οὐκ ἠδύνατο, ἄκρεα ψυχρὰ

1 ἐπερίγωσε V 2 πολλὰ V 4 ἄρρωστος ζ' i. tit. V 7 ὑπέρρυθρα A πάντα om. A παροξύνθη sine augm., ut solet A 8 καὶ pro κατ' A δυσφόρως (ο supra ω) A 9 οὖρα ὑπομέλανα εἶχεν. ἐν. ὑπομελάναιον διεσπ. A 10 ἱδρύει A 11 ἄκριτον V 12 post μετὰ add. δὲ V 14 τούτων A 16 ἄρρωστος η' i. tit. V ἐρασίνος A, -σῖνος Gal. i. t. ἐράσινον, ὃς ᾤκει V Βοώτου libri, -τεω Blass 18 δευτέρην V 21 λόγοι πολλοὶ pro λογισμοί? cf. 241, 8 242, 24 244, 12 et 16 ἐπὶ τὰ (cf. 221, 20) Blass 23 κατηρτῆτο A ante κατενόει add. καὶ V 24 ἄκραια A[1] corr. A[4]

ὑποπέλια, οὖρα ἐπέστη· ἀπέθανε περὶ ἡλίου δυσμάς.
704 τούτῳ | πυρετοὶ διὰ τέλεος σὺν ἱδρῶτι, ὑποχόνδρια μετέωρα, σύντασις μετ᾽ ὀδύνης· οὖρα μέλανα ἔχοντα ἐναιωρήματα στρογγύλα· οὐχ ἱδρύετο· ἀπὸ δὲ κοιλίης κόπρανα διήει· δίψα διὰ τέλεος οὐ λίην· σπασμοὶ πολλοὶ σὺν ἱδρῶτι περὶ θάνατον.

θ΄. Κρίτωνι ἐν Θάσῳ ποδὸς ὀδύνη ἤρξατο ἰσχυρὴ ἀπὸ δακτύλου τοῦ μεγάλου ὀρθοστάδην περιιόντι. κατεκλίνη αὐθημερόν, φρικώδης, ἀσώδης, σμικρὰ ὑποθερμαινόμενος, ἐς νύκτα παρεφρόνησεν. δευτέρῃ οἴδημα δι᾽ ὅλου τοῦ ποδὸς καὶ περὶ σφυρὸν ὑπέρυθρον μετὰ συντάσιος, φλυκταινίδια μέλανα, πυρετὸς ὀξύς, ἐξεμάνη· ἀπὸ δὲ κοιλίης ἄκρητα, χολώδεα, ὑπόσυχνα. ἀπέθανεν ἀπὸ τῆς ἀρχῆς δευτεραῖος.

ι΄. Τὸν Κλαζομένιον, ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέαρ, πῦρ ἔλαβε. ἤλγει δὲ κεφαλήν, τράχηλον, ὀσφῦν ἐξ ἀρχῆς, αὐτίκα δὲ κώφωσις· ὕπνοι οὐκ ἐνῆσαν,
706 πυρετὸς ὀξὺς ἔλαβεν, ὑποχόνδριον ἐπῆρτο μετ᾽ ὄγκου οὐ λίην, σύντασις, γλῶσσα ξηρή. τετάρτῃ ἐς νύκτα παρεφρόνει. πέμπτῃ ἐπιπόνως. ἕκτῃ πάντα παρωξύνθη. περὶ δὲ ἑνδεκάτην σμικρὰ συνέδωκεν. ἀπὸ δὲ κοιλίης ἀπ᾽ ἀρχῆς καὶ μέχρι τεσσαρεσκαιδεκάτης λεπτά, πολλά, ὑδατόχολα διήει· εὐφόρως τὰ περὶ διαχώρησιν διῆγεν. ἔπειτα κοιλίη ἐπέστη, οὖρα διὰ τέλεος λεπτὰ

1 ὑπέστη A, ἀπέστη V, ἐπ. D 2 ante πυρετοὶ add. οἱ V διατέλεος A 3 ante μέλ. add. δὲ V 4 ἐνεωρ., mut. in ἐναιωρ. A 5 διατέλεος A, διατελέως V 7 θ΄ i. m. V 9 κατεκλίθη V 10 ἐς om. V δευτέρα V 11 σφυρὰ V ὑπέρρυθρον A, alterum ρ inser. al. man. 12 ξυντάσσιος A 13 ἄκριτα V ut saepius post ὑπόσυχνα add. διῆλθεν V 14 δευτεραίως A 15 ι΄ i. m. V 17 ὀσφὺν A ἐξαρχῆς A 18 ὄγκου V 19 σύντ. ὀλίγη pro οὐ λ. σ. R΄ [1] Gal. 20 ξ A, καὶ pro ἕκτῃ V vulg. 21 ἐνέδωκεν V 22 ἀπαρχῆς A, ἐξ ἀρχῆς V ιδ A 23 ὑδατόχροα V 24 ὑπέστη A

μέν, εὔχρῳ δὲ καὶ πολλά· εἶχεν ἐναιώρημα ὑποδιεσπασμένον· οὐχ ἱδρύετο. περὶ δὲ ἕκτην καὶ δεκάτην οὔρησεν ὀλίγῳ παχύτερα· εἶχε σμικρὴν ὑπόστασιν· ἐκούφισεν ὀλίγῳ· κατενόει μᾶλλον. ἑπτακαιδεκάτῃ πάλιν λεπτά, παρὰ δὲ τὰ ὦτα ἀμφότερα ἐπήρθη σὺν ὀδύνῃ· ὕπνοι οὐκ ἐνῆσαν, παρελήρει, σκέλεα ἐπωδύνως εἶχεν. εἰκοστῇ ἄπυρος ἐκρίθη, οὐχ ἵδρωσε, πάντα κατενόει. περὶ δὲ εἰκοστὴν ἑβδόμην ἰσχίου ὀδύνη δεξιοῦ ἰσχυρῶς· διὰ ταχέων ἐπαύσατο. τὰ δὲ παρὰ τὰ ὦτα οὔτε καθίστατο οὔτε ἐξεπύει, ἤλγει δέ. περὶ 708 πρώτην καὶ τριηκοστὴν διάρροια πολλοῖσιν ὑδατώδεσιν μετὰ δυσεντεριωδέων· οὖρα παχέα οὔρει· κατέστη τὰ παρὰ τὰ ὦτα. τεσσαρακοστῇ ὀφθαλμὸν δεξιὸν ἤλγει, ἀμβλύτερον ἑώρα· κατέστη.

ια΄. Τὴν Δρομεάδεω γυναῖκα θυγατέρα τεκοῦσαν καὶ τῶν ἄλλων πάντων γενομένων κατὰ λόγον δευτεραίην ἐοῦσαν ῥῖγος ἔλαβεν· πυρετὸς ὀξύς. ἤρξατο δὲ πονεῖν τῇ πρώτῃ περὶ ὑποχόνδριον· ἀσώδης, φρικώδης, ἀλύουσα καὶ τὰς ἐχομένας οὐχ ὕπνωσε. πνεῦμα ἀραιόν, μέγα, αὐτίκα ἀνεσπασμένον. δευτέρῃ, ἀφ᾽ ἧς ἐρρίγωσεν, ἀπὸ κοιλίης καλῶς κόπρανα διῆλθεν· οὖρα παχέα, λευκά, θολερά, οἷα γίνεται ἐκ τῶν καθισταμένων, ὅταν ἀναταραχθῇ κείμενα χρόνον πολύν· οὐ καθίστατο. νύκτα οὐκ ἐκοιμήθη. τρίτῃ περὶ μέσον

1 εὔχρω (α ss.), α ss. A², εὔχροα V   πολλά· εἶχεν ἐνεώρημα (mut. in ἐναιώρ.) A, πολὺ ἔσχεν ἐν. Gal. comm., πολλὰ εἶχεν ἐναιωρήματα V   2 οὐχ᾽ AV   ἵδρυτο A   5 ante πάλιν add. δὲ V   οὔατα V   6 ante σκέλεα add. περὶ δὲ V   9 διαταχέων A   10 οὔατα V   οὐτεξεποίει, corr. 1. man. οὔτ᾽ ἐξεπύει A   11 ante πρώτ. add. δὲ V   κά pro πρώτ. κ. τριηκ. A   12 δυσεντεριώδεων V   τὰ om. V   13 τε μ᾽ pro τεσσ. A, τεσσαρακοστὴ V   15 ια΄ i. m. V   δρομαιάδεω A   17 ῥίγος AV   18 δὲ ὑποχονδρίου A   19 οὐχ᾽ AV ut saepe ante ʽ   20 δευτέρα V   24 ἐκοιμίθη A

ἡμέρης ἐπερρίγωσε, πυρετὸς ὀξύς, οὖρα ὅμοια, ὑποχονδρίου πόνος, ἀσώδης, νύκτα δυσφόρως, οὐκ ἐκοι-
710 μήθη· ἵδρωσε | δι' ὅλου ψυχρῷ, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. τετάρτῃ περὶ ὑποχόνδριον σμικρὰ ἐκουφίσθη, κεφαλῆς δὲ βάρος μετ' ὀδύνης· ὑπεκαρώθη· σμικρὰ ἀπὸ ῥινῶν ἔσταξε· γλῶσσα ἐπίξηρος· διψώδης· οὖρα σμικρὰ λεπτὰ ἐλαιώδεα· σμικρὰ ἐκοιμήθη. πέμπτῃ διψώδης, ἀσώδης, οὖρα ὅμοια, ἀπὸ κοιλίης οὐδέν, περὶ δὲ μέσον ἡμέρης πολλὰ παρέκρουσε καὶ πάλιν ταχὺ σμικρὰ κατενόει· ἀνισταμένη ὑπεκαρώθη, ψύξις σμικρά, νυκτὸς ἐκοιμήθη, παρέκρουσεν. ἕκτῃ πρωὶ ἐπερρίγωσεν, ταχὺ διεθερμάνθη, ἵδρωσε δι' ὅλου· ἄκρεα ψυχρά, παρέκρουσεν, πνεῦμα μέγα ἀραιόν, μετ' ὀλίγον σπασμοὶ ἀπὸ κεφαλῆς ἤρξαντο, ταχὺ ἀπέθανεν.

ιβ΄. Ἄνθρωπος θερμαινόμενος ἐδείπνησεν καὶ ἔπιε πλέον. ἤμεσε πάντα νυκτός, πυρετὸς ὀξύς, ὑποχονδρίου δεξιοῦ πόνος, φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ ἔσω μέρεος, νύκτα δυσφόρως· οὖρα δὲ κατ' ἀρχὰς πάχος
712 ἔχοντα, ἐρυθρά· | κείμενα οὐ καθίστατο· γλῶσσα ἐπίξηρος, οὐ λίην διψώδης. τετάρτῃ πυρετὸς ὀξύς, πόνοι πάντων. πέμπτῃ οὔρησε λεῖον ἐλαιῶδες πολύ· πυρετὸς ὀξύς. ἕκτῃ δείλης πολλὰ παρέκρουσεν. οὐδὲ νύκτα ἐκοιμήθη. ἑβδόμῃ πάντα παρωξύνθη· οὖρα ὅμοια, λόγοι πολλοί, κατέχειν οὐκ ἠδύνατο· ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ ὑγρὰ ταραχώδεα διῆλθεν μετὰ ἑλμίγ-

1 ἐπερρίγωσε A, alterum ρ add. A[3], ἐπερίγωσε V sicut infra v. 11 2 δύσφορος A 3 διόλου A ut solet post ὅλ. add. ὑπὸ V 4 περὶ μὲν ὑποχόνδρια V σμικρὸν ἐκουφίσθηι (κ i. ras.) A 7 prius σμικρὰ om. V 8 ἀσώδης om. V 9 δὲ om. R'Gal. 12 post ταχὺ add. δὲ V ἄκραια A mut. in ἄκρεα 15 ιβ΄ i. m. V 16 , νύκτα π. ὀ., R' Gal. 17 ὑπὸλαπάρος A 18 δυσφόρως mut. in δύσφορος A 21 πόνοι ... ὀξύς om. A 23 ante νύκτα add. ἐς V

γων. νύκτα ἐπιπόνως, πρωὶ δ' ἐρρίγωσε. πυρετὸς ὀξύς. ἵδρωσε θερμῷ, ἄπυρος ἔδοξε γενέσθαι· οὐ πολὺ ἐκοιμήθη, ἐξ ὕπνου ψύξις· πτυαλισμός. δείλης πολλὰ παρέκρουσε, μετ' ὀλίγον δὲ ἤμεσε μέλανα, ὀλίγα, χολώδεα. ἐνάτῃ ψύξις, παρελήρει πολλά, οὐχ ὕπνωσεν. δεκάτῃ σκέλεα ἐπωδύνως, πάντα παρωξύνθη, παρελήρει. ἑνδεκάτῃ ἀπέθανεν.

ιγ'. Γυναῖκα, ἣ κατέκειτο ἐν ἀκτῇ, τρίμηνον πρὸς ἑωυτῇ ἔχουσαν πῦρ ἔλαβεν· αὐτίκα δὲ ἤρξατο πονεῖν ὀσφῦν. τρίτῃ πόνος τραχήλου καὶ κεφαλῆς κατὰ κληῖδα [χεῖρα] δεξιήν· | διὰ ταχέων δὲ γλῶσσα ἠφώνει, δεξιὴ 714
χεὶρ παρελύθη μετὰ σπασμοῦ παραπληγικὸν τρόπον, παρελήρει πάντα. νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, κοιλίη ἐπεταράχθη χολώδεσιν ἀκρήτοισιν ὀλίγοισιν. τετάρτῃ γλῶσσα ἀσαφὴς ἦν, ἐλύθη, σπασμοί· πόνοι τῶν αὐτῶν παρέμενον, κατὰ ὑποχόνδριον ἔπαρμα σὺν ὀδύνῃ, οὐκ ἐκοιμᾶτο, παρέκρουσε πάντα, κοιλίη ταραχώδης, οὖρα λεπτά, οὐκ εὔχρω. πέμπτῃ πυρετὸς ὀξύς, ὑποχονδρίου πόνος, παρέκρουε πάντα, διαχωρήματα χολώδεα. ἐς νύκτα ἵδρωσεν, ἄπυρος. ἕκτῃ κατενόει, πάντα ἐκουφίσθη, περὶ δὲ κληῖδα ἀριστερὴν πόνος παρέμενε· διψώδης, οὖρα λεπτά, οὐκ ἐκοιμήθη. ἑβδόμῃ τρόμος, ὑπεκαρώθη, σμικρὰ παρέκρουσεν, ἀλγήματα

1 ἐπὶπόνως (ο ss.) A ἐρίγωσε V 2 ἐπεκοιμήθη V 4 μετολίγον A ὀλίγα om. V 5 ἐννάτη V 6 ἐπώδυνος V παρωξύνθη om. A 8 ιγ' i. m. V 9 ἑωυτὴν A 10 ὀσφὺν A ante κατὰ add. καὶ Blass κλήϊδα AV 11 χεῖρα delevi, v. Herm. XXVII, 306 διαταχέων A ante γλῶσσα add. ἡ V 11. 12 δεξιὴν χεῖρα V παρέθη R'Gal. 13 δύσφορος A 15 τετάρτη A ἠνελήθη pro ἦν· ἐλύθη V 16 πάντων pro τῶν αὐτῶν V 17 παρέκρουε V 18 εὐχρῶ α ss. A², εὔχροα V 21 πάντων A, punctum post πάντα V κλήϊδα V, ut 214, 1

κατὰ κληῖδα καὶ βραχίονα ἀριστερὸν παρέμενε, τὰ δ' 716 ἄλλα διεκούφισεν, πάντα κατενόει. τρεῖς | διέλιπεν ἄπυρος. ἑνδεκάτῃ ὑπέστρεψεν, ἐπερρίγωσεν, πῦρ ἔλαβεν. περὶ δὲ τεσσαρεσκαιδεκάτην ἤμεσε χολώδεα ξανθὰ ὑπόσυχνα, ἵδρωσεν· ἄπυρος ἐκρίθη.

ιδ'. Μελιδίῃ, ἣ κατέκειτο παρὰ Ἥρης ἱρόν, ἤρξατο κεφαλῆς καὶ τραχήλου καὶ στήθεος πόνος ἰσχυρός· αὐτίκα δὲ πυρετὸς ὀξὺς ἔλαβεν· γυναικεῖα δὲ σμικρὰ ἐπεφαίνετο· πόνοι τούτων πάντων συνεχέες. ἕκτῃ κωματώδης, ἀσώδης, φρικώδης, ἐρύθημα ἐπὶ γνάθων, σμικρὰ παρέκρουσεν. ἑβδόμῃ ἵδρωσε, πυρετὸς διέλιπεν, οἱ πόνοι παρέμενον, ὑπέστρεψεν, ὕπνοι σμικροί· οὖρα διὰ τέλεος εὔχρω μέν, λεπτὰ δέ· διαχωρήματα λεπτά, χολώδεα, δακνώδεα, ὀλίγα, μέλανα, δυσώδεα διῆλθεν, οὔροις ὑπόστασις λευκή, λείη· ἵδρωσεν. ἐκρίθη τελέως ἑνδεκάτῃ.

1 βραχίωνα (ο ss.) A   2 post τρεῖς add. δὲ V   διέλειπεν A 3 ἐπερίγωσε V   5 post ἐκρ. add. οὐκ ἀνάλγητος ἐκ τῶν αὐτῶν παθημάτων R' Gal.   6 ιδ' i. m. V   ἱερόν codd.   Μενδίνῃ V 7 ἰσχυρῶς A   9 ὑπεφαίνετο V   ἁπάντων R' Gal. i. t.   10 κωμματώδης V   γνάθω V   11 ἄπυρος AV, πυρετὸς vulg.   διέλειπεν A   12 ὑπέστρεψαν V   13 διατέλεος A   εὔχρω (α ss.), α ss. A[2], εὔχροα V   λεπτά alt. om. Gal. i. t.   14 χολώδεα bis A   ante ὀλίγα add. κάρτα V   15 τελέος A, ο mut. in ω A[3]   16 ἑνδεκαταίῃ V   post δεκάτῃ A continuo add.: πυθιώνιος ὤκει παραγείσϊρον ἤρξατο· τρόμος· ἀπὸ χειρῶν (cf. Epid. γ' init.).

ΕΠΙΔΗΜΙΩΝ Γ.

1. α'. Πυθίωνι, ὃς ᾤκει παρὰ Γῆς ἱρόν, ἤρξατο III 24 L.
τρόμος ἀπὸ χειρῶν· τῇ πρώτῃ πυρετὸς ὀξύς· λῆρος. δευτέρῃ πάντα παρωξύνθη. τρίτῃ τὰ αὐτά. τετάρτῃ ἀπὸ κοιλίης ὀλίγα, ἄκρητα, χολώδεα διῆλθε. πέμπτῃ πάντα παρωξύνθη· ὕπνοι λεπτοί· κοιλίη ἔστη. ἕκτῃ πτύαλα ποικίλα, ὑπέρυθρα. ἑβδόμῃ στόμα παρειρύσθη. ὀγδόῃ | πάντα παρωξύνθη, τρόμοι παρέμενον· οὖρα 28
δὲ κατ' ἀρχὰς μὲν καὶ μέχρι τῆς ὀγδόης λεπτά, ἄχρω· ἐναιώρημα εἶχον ἐπινέφελον. δεκάτῃ ἵδρωσε, πτύαλα ὑποπέπονα, ἐκρίθη· οὖρα ὑπόλεπτα περὶ κρίσιν. μετὰ δὲ κρίσιν, τεσσαράκοντα ἡμέρῃσιν ὕστερον, ἐμπύημα περὶ ἕδρην. καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις.

β'. Ἑρμοκράτην, ὃς κατέκειτο παρὰ τὸ καινὸν τεῖ- 32
χος, πῦρ ἔλαβεν. ἤρξατο δὲ ἀλγεῖν κεφαλήν, ὀσφῦν· ὑποχονδρίου | ἔντασις λαπαρῶς· γλῶσσα δὲ ἀρχομένῳ 31
ἐπεκαύθη· κώφωσις αὐτίκα· ὕπνοι οὐκ ἐνῆσαν· διψώδης οὐ λίην· οὖρα παχέα, ἐρυθρά, κείμενα οὐ καθί-

1 Γ' V 2 πυθιώνιος ὤκει παραγείσῖρον ἤρξατο· A, Πυθίων, ὃς . . . ἱερόν· ἤρξ. Gal. 3 hic desinit cod. A, in quo verba Πυθ. — χειρῶν extremo libro Epid. I adnexa sunt. hinc sequor cod. V, quem, ubi vulgatam praetuli, in apparatum relego 4 δευτέρα V, ut saepius 5 ἄκριτα V, ut saepius 9 μέχρι καὶ V 10 εἶχον libri, εἶχε Erm. ἐν δεκάτῃ V 13 post ἀπόστ. add. ΠΙ Ζ Σ̄ Μ̄ Ō Ν V, quos characteres Gal. in comm. ita: Π Π Ο Υ Μ Υ, codd. alii aliter exhibent. Hos characteres extremis aegrotorum descriptionibus adiectos neque Galenus interpretesque eo antiquiores praeter Zenonem neque recentiores Hippocratis esse existimarunt. Ceterum memoria Galeni in sex prioribus descriptionibus vetustiorum exemplarium defuerunt. v. Gal. comm. XVII, I 558 sqq. et Ilberg, Mus. Rhen. XLV p. 119. De charact. ab Ilbergio emendatis cf. infra p. 245, de significatione characterum p. 246 17 ἐπαύθη V 18 οὖρει V

στατο· ἀπὸ δὲ κοιλίης οὐκ ὀλίγα συγκεκαυμένα διήει.
πέμπτῃ οὔρησε λεπτά, εἶχεν ἐναιώρημα, οὐχ ἱδρύετο,
ἐς νύκτα παρέκρουσεν. ἕκτῃ ἰκτεριώδης, πάντα παρω-
ξύνθη, οὐ κατενόει. ἑβδόμῃ δυσφόρως, οὖρα λεπτά,
ὅμοια. τὰς ἐπομένας παραπλησίως. περὶ δὲ ἑνδεκάτην
ἐόντι πάντα ἔδοξε κουφισθῆναι· κῶμα ἤρξατο, οὔρει
παχύτερα, ὑπέρυθρα, κάτω λεπτά· οὐ καθίστατο·
36 ἡσυχῇ | κατενόει. τεσσαρεσκαιδεκάτῃ ἄπυρος, οὐχ
ἵδρωσεν, ἐκοιμήθη, κατενόει πάντα, οὖρα παραπλήσια.
περὶ δὲ ἑπτακαιδεκάτην ἐόντι ὑπέστρεψεν, ἐθερμάνθη.
τὰς ἐπομένας πυρετὸς ὀξύς, οὖρα λεπτά, παρέκρουσεν.
πάλιν δὲ εἰκοστῇ ἐκρίθη, ἄπυρος, οὐχ ἵδρωσεν. ἀπό-
σιτος παρὰ πάντα τὸν χρόνον, κατενόει πάντα, δια-
λέγεσθαι οὐκ ἠδύνατο, γλῶσσα ἐπίξηρος, οὐκ ἐδίψη·
38 κατεκοιμᾶτο σμικρά, κωματώδης. | περὶ δὲ εἰκοστὴν
καὶ τετάρτην ἐπεθερμάνθη, κοιλίη ὑγρὴ πολλοῖσι
λεπτοῖσι. καὶ τὰς ἐπομένας πυρετὸς ὀξύς, γλῶσσα
συνεκαύθη. ἑβδόμῃ καὶ εἰκοστῇ ἀπέθανε. τούτῳ
κώφωσις διὰ τέλεος παρέμενεν, οὖρα παχέα καὶ ἐρυθρά,
οὐ καθιστάμενα, ἢ λεπτὰ καὶ ἄχρω καὶ ἐναιώρημα
ἔχοντα· γεύεσθαι δὲ οὐκ ἠδύνατο.

γʹ. Ὁ κατακείμενος ἐν τῷ Δελεάρκεος κήπῳ κεφα-
λῆς βάρος καὶ κρόταφον δεξιὸν ἐπώδυνον εἶχε χρόνον

1 οὐκ ὀλίγα om. V 2 οὐχ' ut fere ubique ante ῾ V ἵδρυτο libri 6 κῶμμα V ἤρξατο οὐρεῖν D 10 ἑπτὰ καὶ δ. V 11 παρέκρουσεν recepit Littr. ex Par. DQ'R', om. V 12 δ' ἐκρίθη (εἰκ. om.) V 13 πάντα restit. Littr. e Gal. comm., om. V 15 κωμματώδης V, ut saepius δὲ om., πρώτην καὶ εἰκοστὴν V 20 καὶ ante ἄχρω, quod est in Parisinis, om. V
21 post ἠδύνατο add. ΠΙ · Ε · Ζ · ΑΓ · ΙΔ : ΙΖ · ΚΔ · ΚΖ · Θ · V, ΠΕΔΚΖΘ Gal. comm. 559 22 δελεάρκους Gal. i. cit. t. 3, 437 ed. Basil., v. Meineke, Ber. der k. pr. Ak. d. W. 1852, p. 578, δεάλδεος V 23 ἐπωδύνως V

πολύν. μετὰ | δὲ προφάσιος πῦρ ἔλαβε, κατεκλίνη. 40
δευτέρῃ ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐρρύη· ἀπὸ
δὲ κοιλίης κόπρανα καλῶς διῆλθεν, οὖρα λεπτὰ
ποικίλα, ἐναιωρήματα ἔχοντα κατὰ σμικρὰ οἷον κρίμνα,
γονοειδέα. τρίτῃ πυρετὸς ὀξύς, διαχωρήματα μέλανα,
λεπτά, ἔπαφρα, ὑπόστασις πελιδνὴ διαχωρήμασιν,
ὑπεκαροῦτο, ἐδυσφόρει περὶ τὰς ἀναστάσιας, οὔροις
ὑπόστασις πελιδνή, ὑπόγλισχρος. τετάρτῃ ἤμεσε χολώ-
δεα ξανθὰ ὀλίγα, διαλιπὼν ὀλίγον ἰώδεα, ἐξ ἀριστε-
ροῦ ὀλίγον ἄκρητον ἐρρύη, διαχωρήματα ὅμοια, οὖρα
ὅμοια, ἐφίδρωσε περὶ κεφαλὴν καὶ κληῗδας, σπλὴν
ἐπήρθη, μηροῦ ὀδύνη κατ' ἴξιν, ὑποχονδρίου δεξιοῦ
σύντασις ὑπολάπαρος, νυκτὸς οὐκ ἐκοιμήθη, παρέ-
κρουσε σμικρά. πέμπτῃ διαχωρήματα πλείω, μέλανα,
ἔπαφρα, ὑπόστασις μέλαινα διαχωρήμασι, νύκτα οὐχ
ὕπνωσε, παρέκρουσεν. ἕκτῃ διαχωρήματα μέλανα, λι-
παρά, γλίσχρα, δυσώδεα. ὕπνωσε, κατενόει μᾶλλον.
ἑβδόμῃ γλῶσσα ἐπίξηρος, διψώδης, οὐκ ἐκοιμήθη, παρέ-
κρουσεν, οὖρα λεπτά, οὐκ εὔχρω. ὀγδόῃ διαχωρήματα
μέλανα ὀλίγα, συνεστηκότα, ὕπνωσε, κατενόει, διψώ-
δης οὐ λίην. ἐνάτῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς, ἵδρωσε,
ψύξις, παρέκρουσε, δεξιῷ ἴλλαινε, γλῶσσα ἐπίξηρος,
διψώδης, ἄγρυπνος. δεκάτῃ περὶ | τὰ αὐτά. ἑνδεκάτῃ 42
κατενόει πάντα, ἄπυρος, ὕπνωσεν, οὖρα λεπτὰ περὶ
κρίσιν. δύο διέλιπεν ἄπυρος, ὑπέστρεψεν τεσσαρεσκαι-
δεκάτῃ, αὐτίκα δὲ νύκτα οὐκ ἐκοιμήθη, πάντα παρέ-

1 -κλιθ- codd. ubique in hoc libro, scripsi -κλιν- 2 post ἐρρύη add. αἷμα vulg., om. VR'[1] 4 ἐναιώρημα V, plur. DR', Gal. i. t. et in cit. XVIII, I 131 κατὰ om. Gal. in cit. ibid. κρίμα V 9 ὀλίγα V 11 ἐφίδρου V κληΐδα V, κληῗδας D 12 ἶξιν V 21 ἐνν. ut solet V ἐπερίγ. V 22 εἴλαιναι V 23 τὰ ss. ead. man. V 25 δωδεκάτῃ pro δύο V διέστρεψεν V

*κρουσεν. πεντεκαιδεκάτῃ οὖρον θολερόν, οἷον ἐκ τῶν
καθεστηκότων γίνεται, ὅταν ἀναταραχθῇ, πυρετὸς ὀξύς,
πάντα παρέκρουσεν, οὐκ ἐκοιμήθη, γούνατα καὶ κνή-
μας ἐπώδυνα εἶχεν· ἀπὸ δὲ κοιλίης βάλανον προσθε-
μένῳ μέλανα κόπρανα διῆλθεν. ἑξκαιδεκάτῃ οὖρα
λεπτά, εἶχεν ἐναιώρημα ἐπινέφελον, παρέκρουσεν. ἑπτα-
καιδεκάτῃ πρωῒ ἄκρεα ψυχρά, περιεστέλλετο, πυρετὸς
ὀξύς, ἵδρωσε δι' ὅλου, ἐκουφίσθη, κατενόει μᾶλλον,
οὐκ ἄπυρος, διψώδης, ἤμεσε χολώδεα, ξανθά, ὀλίγα,
ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε, μετ' ὀλίγον δὲ μέλανα,
ὀλίγα, λεπτά· οὖρα λεπτά, οὐκ εὔχρω. ὀκτωκαιδεκάτῃ
οὐ κατενόει, κωματώδης. ἐννεακαιδεκάτῃ διὰ τῶν
αὐτῶν. εἰκοστῇ ὕπνωσε, κατενόει πάντα, ἵδρωσεν, ἄπυ-
ρος, οὐκ ἐδίψη, οὖρα δὲ λεπτά. εἰκοστῇ πρώτῃ σμικρὰ*
44 *παρέκρουσεν, ὑπεδίψη, ὑποχονδρίου πόνος καὶ περὶ
ὀμφαλὸν παλμὸς διὰ τέλεος. εἰκοστῇ τετάρτῃ οὔροισιν
ὑπόστασις, κατενόει πάντα. εἰκοστῇ ἑβδόμῃ ἰσχίου δε-
ξιοῦ ὀδύνη, τὰ δ' ἄλλα ἔσχεν ἐπιεικέστατα, οὔροισιν
ὑπόστασις. περὶ δὲ εἰκοστὴν ἐνάτην ὀφθαλμοῦ δεξιοῦ
ὀδύνη, οὖρα λεπτά. τεσσαρακοστῇ διεχώρησε φλεγμα-
τώδεα, λευκά, ὑπόσυχνα, ἵδρωσε πολλῷ δι' ὅλου, τε-
λέως ἐκρίθη.*

*δ'. Ἐν Θάσῳ Φιλιστῆς κεφαλὴν ἐπόνει χρόνον
πολὺν καί ποτε καὶ ὑποκαρωθεὶς κατεκλίνη· ἐκ δὲ
πότων πυρετῶν συνεχέων γενομένων ὁ πόνος παρω-*
46 *ξύνθη. νυκτὸς ἐπεθερμάνθη τὸ πρῶτον. τῇ πρώτῃ*

1 *ἐκ τ. κ. ὁκοῖον γίν. ὅτ' ἂν* V 4 *ἐπωδύνως* V 6 *ἔχοντα* R' Gal. *ἐπὶ νεφελῶν* V 11 *οὖρα λ.* om. V 14 *πρ. καὶ εἰκ.* V 16 *τετ. καὶ εἰκ.* V 18 pro *οὐρ. ὑπ.* post *ὀδ.* add. *οὖρα λεπτὰ καὶ εἶχον ὑπόστασιν* vulg. 22 post *ἐκρίθη* add. ΠΙ ΚΔ ΟΔ ΜΥ V 23 *φιλίστης* libri, *-ῆς* Blass 24 *ὑποκαρωθεῖσα* V 25 *τούτων* pro *πότ.* V *πυρετῶν* om. V

ἤμεσε χολώδεα, ὀλίγα, ξανθὰ τὸ πρῶτον, μετὰ δὲ ταῦτα ἰώδεα πλείω, ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε· νύκτα δυσφόρως. δευτέρῃ κώφωσις, πυρετὸς ὀξύς, ὑποχόνδριον δεξιὸν συνετάθη, ἔρρεπεν ἐς τὰ ἔσω· οὖρα λεπτά, διαφανέα, εἶχεν ἐναιώρημα γονοειδές, σμικρόν· ἐξεμάνη περὶ μέσον ἡμέρης. τρίτῃ δυσφόρως. τετάρτῃ σπασμοί, παρωξύνθη. πέμπτῃ πρωὶ ἀπέθανεν.

ε'. Χαιρίωνα, ὃς κατέκειτο παρὰ Δηλίαν, ἐκ πότου πῦρ | ἔλαβεν. αὐτίκα δὲ κεφαλῆς βάρος ἐπώδυνον. οὐκ ἐκοιμᾶτο, κοιλίη ταραχώδης λεπτοῖσιν, ὑποχολώ- 48
δεσι. τρίτῃ πυρετὸς ὀξύς, κεφαλῆς τρόμος, μάλιστα δὲ χείλεος τοῦ κάτω· μετ' ὀλίγον δὲ ῥῖγος, σπασμοί, πάντα παρέκρουσε, νύκτα δυσφόρως. τετάρτῃ δι' ἡσυχίης, σμικρὰ ἐκοιμήθη, παρέλεγε. πέμπτῃ ἐπιπόνως, πάντα παρωξύνθη, λῆρος, νύκτα δυσφόρως. οὐκ ἐκοιμήθη. ἕκτῃ διὰ τῶν αὐτῶν. ἑβδόμῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς, ἵδρωσε δι' ὅλου, ἐκρίθη. τούτῳ διὰ τέλεος ἀπὸ κοιλίης διαχωρήματα χολώδεα, ὀλίγα, ἄκρητα· οὖρα λεπτά, ⟨οὐκ⟩ εὔχρω, ἐναιώρημα ἐπινέφελον ἔχοντα. περὶ ὀγδόην οὔρησεν εὐχροώτερα, ἔχοντα ὑπόστασιν λευκὴν ὀλίγην, κατενόει, ἄπυρος· διέλιπεν. ἐνάτῃ ὑπέστρεψε. περὶ δὲ τεσσαρεσκαιδεκάτην πυρετὸς ὀξύς. ἑκκαιδεκάτῃ ἤμεσε χολώδεα, ξανθά, ὑπόσυχνα. ἑπτακαιδεκάτῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς, ἵδρωσεν, ἄπυρος ἐκρίθη. οὖρα μετὰ ὑποστροφὴν καὶ κρίσιν εὔχρω. ὑπόστασιν

1 ὀλ. om. V ταῦτα om. DR'Gal. 2 πλέω V 7 post παρωξ. add. πάντα vulg. post ἀπέθανεν add. Πi Φ $\overline{\Delta}$ $\overline{\mathrm{E}}$ $\overline{\Theta}$ $\overline{\mathrm{K}}$ $\overline{\mathrm{K}}$ V 8 χερίωνα V Δηλ. V, Δημαινέτῳ vulg. ποτοῦ V, πότ. D 16 ἐπερίγωσε V 17 ἐκοιμήθη (pro ἐκρ.) nulla interpunct. antecedente V διατέλεος V 18 ἄκριτα V ut saepius 19 οὐκ om. codd., coni. Litt., scripsit Erm. 21 ἄπυρος DR'Gal., ἀπύρετος· V 23 ἑξκ. V 24 ἐπερίγωσε V ut saepius

ἔχοντα, οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ. ὀκτωκαιδεκάτῃ ἐθερμαίνετο σμικρά, ὑπεδίψῃ, οὖρα λεπτά, ἐναιώρημα ἐπινέφελον, σμικρὰ παρέκρουσεν. ἐννεακαιδεκάτῃ ἄπυρος, τράχηλον ἐπωδύνως εἶχεν, οὔροισιν ὑπόστασις. τελέως ἐκρίθη εἰκοστῇ.

50 | ϛ'. Τὴν Εὐρυάνακτος θυγατέρα, παρθένον, πῦρ ἔλαβεν. ἦν δὲ ἄδιψος διὰ τέλεος· γεύματα οὐ προσεδέχετο. ἀπὸ δὲ κοιλίης σμικρὰ διῄει, οὖρα λεπτά, ὀλίγα, οὐκ εὔχρω. ἀρχομένου δὲ τοῦ πυρετοῦ περὶ ἕδρην ἐπόνει. ἑκταίη δὲ ἐοῦσα ἄπυρος οὐχ ἵδρωσεν· ἐκρίθη. τὸ δὲ περὶ τὴν ἕδρην σμικρὰ ἐξεπύησεν, ἐῤῥάγη ἅμα κρίσει. μετὰ δὲ κρίσιν ἑβδομαίη ἐοῦσα ἐρρίγωσε, σμικρὰ ἐπεθερμάνθη, ἵδρωσεν. ὕστερον δὲ ἄκρεα ψυχρὰ αἰεί. περὶ δὲ δεκάτην μετὰ τὸν ἱδρῶτα τὸν γενόμενον παρέκρουσε καὶ πάλιν ταχὺ κατενόει· ἔλεγον δὲ γευσαμένην βότρυος. διαλιποῦσα δὲ δωδεκάτῃ πάλιν πολλὰ
52 παρελήρει, κοιλίη | ἐπεταράχθη χολώδεσιν, ἀκρήτοισιν, ὀλίγοισι λεπτοῖσι, δακνώδεσι, πυκνὰ ἀνίστατο. ἀφ' ἧς δὲ παρέκρουσε τὸ ὕστερον, ἀπέθανε ἑβδόμῃ. αὕτη ἀρχομένου τοῦ νοσήματος ἤλγει φάρυγγα, καὶ διὰ τέλεος ἔρευθος εἶχε, γαργαρεὼν ἀνεσπασμένος. ῥεύματα πολλά, σμικρά, δριμέα. ἔβησσε πέπονα, οὐδὲν ἀνῆγεν· ἀπόσιτος πάντων παρὰ πάντα τὸν χρόνον οὐδ' ἐπεθύμησεν οὐδενός. ἄδιψος, οὐδ' ἔπινεν οὐδὲν ἄξιον λό-

2 οὖρα . . . παρέκρ. om. V 5 εἰκοστῇ om. V post εἰκ. add. ΠΙ · Χ̄ Π̄ Δ̄ Ō Ȳ K̄ Ȳ V 10 ἕκτη V 12 ἑβδόμῃ V ἐρίγωσε V uno ρ ut saepius 13 post ἵδρωσεν. add. μετὰ δὲ κρίσιν ὀγδοαίη ἐοῦσα ἐρρίγωσεν οὐ πολλά· vulg., om. V 16 post βότρυος add. ταῦτα παθεῖν vulg., om. VR'[1] εἰκοστῇ δευτέρᾳ pro δωδ. V 17. 18 ἀκρίτοισιν ὀλίγοις V 18 ἀφίστατο V 19 ἀπέθανε πεντεκοστῇ ἑβδ. V 20 ἀρχομένη Gal. in cit. VII, 882 22 post πολλά add. λεπτά Gal. ibid. 883 ἔβ., πέπον δ' οὐδὲν ἀν. Gal. ibid.

γου. σιγῶσα, οὐδὲν διελέγετο. δυσθυμίη, ἀνελπίστως ἑωυτῆς εἶχεν. ἦν δέ τι καὶ συγγενικὸν φθινῶδες.

ζʹ. *Ἡ κυναγχικὴ ἡ παρὰ [τὰ] Ἀριστίωνος, ᾗ πρῶτον* | 54
ἤρξατο ἀσαφὴς φωνή. γλῶσσα ἐρυθρή, ἐπεξηράνθη. τῇ πρώτῃ φρικώδης, ἐπεθερμάνθη. τρίτῃ ῥῖγος, πυρετὸς ὀξύς, οἴδημα ὑπέρυθρον, σκληρὸν τραχήλου καὶ ἐπὶ στῆθος ἐξ ἀμφοτέρων, ἄκρεα ψυχρά, πελιδνά, πνεῦμα μετέωρον, ποτὸν διὰ ῥινῶν, καταπίνειν οὐκ ἠδύνατο, διαχωρήματα καὶ οὖρα ἐπέστη. τετάρτῃ πάντα παρωξύνθη. πέμπτῃ ἀπέθανε. [κυναγχική.]

ηʹ. *Τὸ μειράκιον, ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ,* 56
πῦρ ἔλαβεν ἐκ κόπων καὶ πόνων καὶ δρόμων παρὰ τὸ ἔθος. τῇ πρώτῃ κοιλίη ταραχώδης χολώδεσι, λεπτοῖσι, πολλοῖσιν, οὖρα λεπτά, ὑπομέλανα, οὐχ ὕπνωσε, διψώδης. δευτέρῃ πάντα παρωξύνθη, διαχωρήματα πλείω, ἀκαιρότερα. οὐχ ὕπνωσε, τὰ τῆς γνώμης ταραχώδεα, σμικρὰ ὑφίδρωσε. τρίτῃ δυσφόρως, διψώδης, ἀσώδης, πολὺς βλησtρισμός, ἀπορίη, παρέκρουσεν, ἄκρεα πελιδνὰ καὶ ψυχρά, ὑποχονδρίου ἔντασις ὑπολάπαρος ἐξ ἀμφοτέρων. τετάρτῃ οὐχ ὕπνωσεν· ἐπὶ τὸ χεῖρον. ἑβδόμῃ ἀπέθανεν, ἡλικίην περὶ ἔτεα εἴκοσιν. [*ὀξύ*].

ϑʹ. *Ἡ παρὰ Τεισαμενοῦ γυνὴ κατέκειτο, ᾗ τὰ εἰλε-* 58
ώδεα δυσφόρως ὥρμησεν. ἔμετοι πολλοί, ποτὸν κατέ-

1. 2 *ἀνέλπιστος αὖτις* V, *ἀνελπίστως ἑωυτῆς* L Q′R′ Gal. post *φθιν.* add. ΠΙ Ε Α Π Α Σ Φ V 3 *τὰ* delevi, cf. s. 194, 4 et Gal. comm. 609 *ἡ κυναγχικὴ παρὰ Βίτωνος*, ibid. 559 *ἀριστίωνος* V post *πρῶτον* add. *ἀπὸ γλώσσης* vulg., om. V 5 *α* pro *πρώτῃ* V *ῥίγος* V 8 post *ῥινῶν* add. *ἐχεῖτο* libri praeter V 10 post *κυναγχ.* add. ΠΙ Υ Δ Ε Η Θ Ι V, Π Δ Ε Η (Kuehn falso K) Θ Gal. comm. 601 18 *δυσώδης* pro *ἀσ.* V 21 *ἡλικίη* Gal. Erm. 21 post *εἴκοσιν* add. ΠΙ Ζ Υ Θ V, ΠΙ Ξ Ζ Θ vulg., Π Ζ Θ Gal. i. t. *ὀξύ* Gal. comm., om. libri 22 *Τισ.* libri, *Τεισ.* Blass *ἰλεώδεα* Gal. comm.

χειν οὐκ ἠδύνατο. πόνοι περὶ ὑποχόνδρια. καὶ ἐν τοῖσι κάτω κατὰ κοιλίην οἱ πόνοι. στρόφοι συνεχέες. οὐ διψώδης. ἐπεθερμαίνετο. ἄκρεα ψυχρὰ διὰ τέλεος. ἀσώδης, ἄγρυπνος. οὖρα ὀλίγα, λεπτά. διαχωρήματα ὠμά, λεπτά, ὀλίγα. ὠφελεῖν οὐκέτι ἠδύνατο, ἀπέθανεν.

60 ι′. Γυναῖκα ἐξ ἀποφθορῆς νηπίου τῶν περὶ Παντιμίδην τῇ πρώτῃ πῦρ ἔλαβε. γλῶσσα ἐπίξηρος, διψώδης, ἀσώδης, ἄγρυπνος. κοιλίη ταραχώδης λεπτοῖσι, πολλοῖσιν, ὠμοῖσι. δευτέρῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς, ἀπὸ κοιλίης πολλά, οὐχ ὕπνωσε. τρίτῃ μείζους οἱ πόνοι. τετάρτῃ παρέκρουσεν· ἑβδόμῃ ἀπέθανε. κοιλίη διὰ παντὸς ὑγρὴ διαχωρήμασι πολλοῖσι, λεπτοῖσιν, ὠμοῖσιν· οὖρα ὀλίγα λεπτά. [καῦσος.]

ια′. Ἑτέρην ἐξ ἀποφθορῆς περὶ πεντάμηνον, Ἱκέ-
62 τεω γυναῖκα, πῦρ ἔλαβεν. ἀρχομένη κωματώδης ἦν, καὶ πάλιν ἄγρυπνος, ὀσφύος ὀδύνη, κεφαλῆς βάρος. δευτέρῃ κοιλίη ἐπεταράχθη ὀλίγοισι, λεπτοῖσιν, ἀκρήτοισι τὸ πρῶτον. τρίτῃ πλείω, χείρω· νυκτὸς οὐδὲν ἐκοιμήθη. τετάρτῃ παρέκρουσε. φόβοι, δυσθυμίαι. δεξιῷ ἴλλαινε, ἵδρωσε περὶ κεφαλὴν ὀλίγῳ ψυχρῷ, ἄκρεα ψυχρά. πέμπτῃ πάντα παρωξύνθη, πολλὰ παρέλεγε καὶ πάλιν ταχὺ κατενόει· ἄδιψος, ἄγρυπνος, κοιλίη πολλοῖσιν ἀκαίροισι διὰ τέλεος· οὖρα ὀλίγα,

2 κατὰ om. V 5 οὐκ ἔτι V post ἀπέθανεν add. ΠΙ Ρ̄ Ε̄ Θ̄ V 6 ἀποφορῆς V 8 ἀσώδης Gal. et i. t. et in comm., om. V vulg. 9 δευτέρα ἐπερίγωσε V 11. 12 διαπαντὸς V 13 καῦσος iam a Galeno reiectum sicut ceteras eius generis morborum nominationes in extremis descriptionibus cum Freindio expunxi post καῦσος add. ΠΙ Θ̄ Δ̄ Ῡ Ā V 14. 15 ἱκετεύω V, οἰκέτεω D Gal. 15 κωμματ. V ut saepius 17 δευτέρα V ut saepius 17. 18 ἀκρίτοισι V ut saepius 20 εἴλαιναι V ἱδρῶτα V, ἵδρου Gal. comm. 21 παρωξύνθη· πέμπτῃ πολλὰ παρωξύνθη (om. πολλὰ) παρέλεγε V

λεπτά, ὑπομέλανα· ἄκρεα ψυχρά, ὑποπέλιδνα. ἕκτη διὰ τῶν αὐτῶν. ἑβδόμη ἀπέθανε [φρενιτιαία].

ιβ΄. Γυναῖκα, ἥτις κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τεκοῦ|σαν τότε πρῶτον ἐπιπόνως ἄρσεν πῦρ ἔλαβεν. 64 *αὐτίκα ἀρχομένη διψώδης, ἀσώδης, καρδίην ὑπήλγει, γλῶσσα ἐπίξηρος, κοιλίη ἐπεταράχθη λεπτοῖσιν ὀλίγοισιν, οὐχ ὕπνωσε. δευτέρῃ σμικρὰ ἐπερρίγωσε, πυρετὸς ὀξύς, σμικρὰ περὶ κεφαλὴν ἵδρωσε ψυχρῷ. τρίτῃ ἐπιπόνως· ἀπὸ κοιλίης ὠμά, λεπτὰ πολλὰ διῄει. τετάρτῃ ἐπερρίγωσε, πάντα παρωξύνθη· ἄγρυπνος. πέμπτῃ ἐπιπόνως. ἕκτῃ διὰ τῶν αὐτῶν· ἀπὸ κοιλίης ἦλθε ὑγρὰ πολλά. ἑβδόμῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς, δίψα, πολὺς βληστρισμός, περὶ δείλην ἵδρωσε δι᾽ ὅλου ψυχρῷ, ψύξις, ἄκρεα ψυχρά, οὐκέτι ἀνεθερμαίνετο· καὶ πάλιν ἐς νύκτα ἐπερρίγωσεν, ἄκρεα οὐκ ἀνεθερμαίνετο, οὐχ ὕπνωσε, σμικρὰ παρέκρουσε, καὶ πάλιν ταχὺ κατενόει. ὀγδόῃ περὶ μέσον ἡμέρης ἀνεθερμάνθη, διψώδης, κωματώδης, ἀσώδης, ἤμεσε χολώδεα, σμικρὰ ὑπόξανθα. νύκτα δυσφόρως, οὐκ ἐκοιμήθη, οὔρησε πολὺ ἀθρόον οὐκ εἰδυῖα. ἐνάτῃ | συνέδωκε πάντα, κωματώ-* 66 *δης. πρὸς δείλην σμικρὰ ἐπερρίγωσεν, ἤμεσε σμικρὰ χολώδεα. δεκάτῃ ῥῖγος, πυρετὸς παρωξύνθη, οὐχ ὕπνωσεν οὐδέν· πρωῒ οὔρησε πολὺ ὑπόστασιν οὐκ ἔχον, ἄκρεα ἀνεθερμάνθη. ἐνδεκάτῃ ἤμεσε χολώδεα, ἰώδεα. ἐπερρίγωσεν οὐ μετὰ πολύ, καὶ πάλιν ἄκρεα ψυχρά, ἐς δείλην ἱδρώς, ῥῖγος, ἤμεσε πολλά, νύκτα ἐπιπόνως. δωδεκάτῃ ἤμεσε πολλὰ μέλανα δυσώδεα,*

2 *φρενῖτις* Gal. comm. post *φρεν.* add. ΠΙ Θ̄ Δ̄ Ā Z̄ Θ̄ V 3 *ἀγορῇς* V 8 *ψυχρῷ* V 11 *ὑγρὰ* (D Gal. i. t., vulg.) om. V 12 post *ἐπερρ.* add. *γλῶσσα ξηρή,* Gal. 14 *οὐκ ἔτι* V 20 *εἶδον* V 22 *ῥίγος* ubique V 23 *οὐκ* D R′[1] Gal., Foës., Erm., om. V 24 *ἐνδεκάτη* V

λυγμὸς πολύς, δίψος ἐπιπόνως. τρισκαιδεκάτῃ μέλανα, δυσώδεα πολλὰ ἤμεσε, ῥῖγος· περὶ δὲ μέσον ἡμέρης ἄφωνος. τεσσαρεσκαιδεκάτῃ αἷμα διὰ ῥινῶν· ἀπέθανε. ταύτῃ διὰ τέλεος κοιλίη ὑγρή· φρικώδης· ἡλικίη περὶ ἔτεα ἑπτακαίδεκα.

[*κατάστασις.*]

68 2. *Ἔτος νότιον ἔπομβρον· ἄπνοια διὰ τέλεος. αὐχμῶν δὲ | γενομένων τοὺς ὑπόπροσθεν χρόνους [ἐπ᾽ ἐνιαυτὸν] ἐν νοτίοισι περὶ ἀρκτοῦρον ὕδατα πολλά. φθινόπωρον σκιῶδες, ἐπινέφελον, ὑδάτων πλήθεα. χειμὼν νότιος, ὑγρός, μαλθακὸς μετὰ ἡλίου τροπάς· ὕστερον πολλῷ, πλησίον ἰσημερίης, ὀπισθοχειμῶνες, καὶ ἤδη περὶ ἰσημερίην βόρεια, χιονώδεα, οὐ πολὺν χρόνον. ἦρ πάλιν νότιον, ἄπνοον· ὕδατα πολλὰ διὰ τέλεος μέχρι κυνός. θέρος αἴθριον, θερμόν, πνίγεα μεγάλα· ἐτησίαι σμικρὰ διεσπασμένως ἔπνευσαν· πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισιν ὕδατα πολλά.*

70 *Γενομένου δὲ τοῦ ἔτεος νοτίου καὶ ὑγροῦ καὶ | μαλθακοῦ κατὰ μὲν χειμῶνα διῆγον ὑγιηρῶς πλὴν τῶν φθινωδέων, περὶ ὧν γεγράψεται.*

3. *Πρωὶ δὲ τοῦ ἦρος ἅμα τοῖσι γενομένοισι ψύχεσιν ἐρυσιπέλατα πολλά, τοῖσι μὲν μετὰ προφάσιος, τοῖσι δ᾽ οὔ, κακοήθεα· πολλοὺς ἔκτεινε, πολλοὶ φά-*

2 *μέσην* V 5 post *ἑπτακ.* add. ΠΙ Δ̄ Δ̄Ῑ Δ̄ Ō Δ̄ Ī Θ̄ V 6 *κατάστασις* i. tit. plurima antigrapha Gal. editionesque recentes, om. V. et omn. codd. praeter R′ 7 *ἄπνοα* V 8 *ἐπ. ἐν.* Littraeo suspectum del. Erm. 11 post *μαλ.* punctum vulg., sustulit Gomperz. Eodem auctore omisi *δὲ* (V vulg.) post *μετὰ* cum cod. K. 12 *ἰσημέρης* V 15 *ἐτήσια σμικρὰ διεσπασμένα ἔπνευσεν* Gal. in cit. VII 847 17 distinctionis auctor Ilbergius cf. 180, 10 22 *ἐρυσίπελας πολλοῖσι μὲν* V 23 *οὐ* sine interpunctione V

ρυγγας ἐπόνησαν· φωναὶ κακούμεναι, καῦσοι φρενιτικοί, στόματα ἀφθώδεα, αἰδοίοισι φύματα, ὀφθαλμίαι, ἄνθρακες, κοιλίαι ταραχώδεες, ἀπόσιτοι, διψώδεες οἱ μέν, οἱ δ' οὔ, οὖρα ταραχώδεα, πολλά, κακά, κωματώδεες ἐπὶ πολὺ καὶ πάλιν ἄγρυπνοι, ἀκρισίαι πολλαί, δύσκριτα, ὕδρωπες, φθινώδεες πολλοί. τὰ μὲν ἐπιδημήσαντα νοσήματα ταῦτα. ἑκάστου δὲ τῶν ὑπογεγραμμένων εἰδέων ἦσαν οἱ κάμνοντες καὶ ἔθνησκον πολλοί. συνέπιπτε δ' ἐφ' ἑκάστοισι τούτων ὧδε.

4. *Πολλοῖσι μὲν τὸ ἐρυσίπελας μετὰ προφάσιος ἐπὶ τοῖσι τυ|χοῦσι καὶ πάνυ ἐπὶ σμικροῖσι τρωματίοις* 72 *ἐφ' ὅλῳ τῷ σώματι, μάλιστα δὲ τοῖσι περὶ ἑξήκοντα ἔτεα ⟨καὶ⟩ περὶ κεφαλήν, εἰ καὶ σμικρὸν ἀμεληθείη. πολλοῖσι δὲ καὶ ἐν θεραπείῃ ἐοῦσι μεγάλαι φλεγμοναὶ ἐγίνοντο, καὶ τὸ ἐρυσίπελας πολὺ ταχὺ πάντοθεν ἐπενέμετο. τοῖσι μὲν οὖν πλείστοισιν αὐτῶν ἀποστάσιες ἐς ἐμπυήματα συνέπιπτον· σαρκῶν καὶ νεύρων καὶ ὀστέων ἐκπτώσιες μεγάλαι. ἦν δὲ καὶ τὸ ῥεῦμα τὸ συνιστάμενον οὐ | πύῳ ἴκελον, ἀλλὰ σηπεδών τις ἄλλη καὶ* 74 *ῥεῦμα πολὺ καὶ ποικίλον. οἷσι μὲν οὖν περὶ κεφαλὴν τούτων τι συμπίπτοι γίνεσθαι, μάδησίς τε ὅλης τῆς κεφαλῆς ἐγίνετο καὶ τοῦ γενείου καὶ ὀστέων ψιλώματα καὶ ἐκπτώσιες καὶ πολλὰ ῥεύματα. ἐν πυρετοῖσί τε ταῦτα καὶ ἄνευ πυρετῶν. ἦν δὲ ταῦτα φοβερώτερα ἢ κακίω. οἷσι γὰρ ἐς ἐμπύημα ἤ τινα τοιοῦτον ἀφίκοιτο πεπασμόν, οἱ πλεῖστοι τούτων ἐσῴζοντο. οἷσι*

2 *αὐθώδεα* V *αἰδοῖα* V, *αἰδοίοις* vulg. 5 *πολλοῖσι* V, *πουλὺ* vulg., *πολὺ* R'[1] Gal. *ἀκρασίαι* V, *ἀκρισίαι* D Gal. 13 *καὶ* om. codd., *καὶ π. κ.*, *εἰ κ. σμ. ἀμ.*, *π. δ. κ. ἐν θ. ἐοῦσιν· μεγάλαι κτλ.* Littraeus secundum Gal. commentarium 15 *ἐπενέμετο* vulg., *ἐπεμαίνετο* FHIK, *ἐπεθερμαίνετο* V 17 *συνέπιπτε* V 19 *εἴκελον* V, *ἴκ.* vulg., *ἴκ.* Gal. in cit. I 532 21 *ξυμπίπτει* V 25 26 VDFHJK, *ἐμπ. ὁ τῶν τοιούτων ἀφίκοιτο πεπασμός* vulg.

δ' ἡ μὲν φλεγμονὴ καὶ τὸ ἐρυσίπελας ἀπέλθοι, τοιαύτην δὲ ἀπόστασιν μηδεμίαν ποιήσαιτο, τούτων ἀπώλλυντο πολλοί. ὁμοίως δὲ καὶ εἴ πῃ ἄλλῃ τοῦ σώματος πλανηθείη, συνέπιπτε ταῦτα. πολλοῖσι μὲν γὰρ βραχίων καὶ πῆχυς ὅλος περιερρύη. οἷσι δ' ἐπὶ τὰ πλευρά, ταῦτα ἐκακοῦτο ἢ τῶν ἔμπροσθέν τι ἢ τῶν ὄπισθεν. οἷσι δ' ὅλος ὁ μηρὸς ἢ τὰ περὶ κνήμην ἀπεψιλοῦτο καὶ πoὺς ὅλος. ἦν δὲ πάντων χαλεπώτατα τῶν τοιούτων, ὅτε περὶ ἥβην καὶ αἰδοῖα γενοίατο. τὰ μὲν περὶ ἕλκεα καὶ μετὰ προφάσιος τοιαῦτα. πολλοῖσι δὲ ἐν πυρετοῖσι καὶ πρὸ πυρετοῦ καὶ ἐπὶ πυρετοῖσι συνέπιπτεν. ἦν δὲ καὶ τούτων, ὅσα μὲν ἀπόστασιν ποιήσαιτο διὰ τοῦ ἐκπυῆσαι ἢ κατὰ κοιλίην ταραχή τις
76 ἐπίκαιρος ἢ χρηστῶν οὔρων διάδοσις γένοιτο, | διὰ τούτων λελύσθαι, οἷσι δὲ μηδὲν τούτων συμπίπτοι, ἀσήμως δὲ ἀφανιζομένων, θανατώδεα γίνεσθαι. πολὺ μὲν οὖν πλείστοισι συνέπιπτε τὰ περὶ τὸ ἐρυσίπελας τοῦ ἦρος. παρείπετο δὲ καὶ διὰ τοῦ θέρεος καὶ ὑπὸ φθινόπωρον.

5. Πολλὴ δὲ ταραχή τισι καὶ τὰ περὶ φάρυγγα φύματα, καὶ φλεγμοναὶ γλώσσης, καὶ τὰ παρ' ὀδόντας ἀποστήματα. φωναί τε πολλοῖσιν ἐπεσήμαινον κακού-
80 μεναι καὶ κατίλλουσαι, | πρῶτον μὲν τοῖσι φθινώδεσιν ἀρχομένοισιν, ἀτὰρ καὶ τοῖσι καυσώδεσι καὶ τοῖσι φρενιτικοῖσιν.

6. Ἤρξαντο μὲν οὖν οἱ καῦσοι καὶ τὰ φρενιτικὰ πρωὶ τοῦ ἦρος μετὰ τὰ γενόμενα ψύχεα, καὶ πλεῖστοι

2 μὴ δὲ μίαν V ποιήσοιτο V 4 πλανηθῇ ἢ V 8 ποῦς V 9 γενοίατο V vulg., γένοιτο Gal. 9. 10 περιέλκεα V 13 ἐμπνῆσαι V ή pro ἢ V 15 λελῦσθαι V 16 πολλοῖσι V 18 ἥρος V τοῦ ante θέρ. om. Gal. 20 τῆσι V 23 κατειλοῦσαι V (de voce κατίλλειν v. Littr. ad loc.)

τηνικαῦτα διενόσησαν· ὀξέα δὲ τούτοισι καὶ θανατώδεα συνέπιπτεν. ἦν δὲ ἡ κατάστασις τῶν γενομένων καύσων ὧδε· ἀρχόμενοι κωματώδεες, ἀσώδεες, φρικώδεες, πυρετὸς ὀξύς, οὐ διψώδεες λίην, οὐ | παράληροι, 82 *ἀπὸ ῥινῶν ἔσταξε σμικρόν. οἱ παροξυσμοὶ τοῖσι πλείστοισιν ἐν ἀρτίῃσι, περὶ δὲ τοὺς παροξυσμοὺς λήθη καὶ ἄφεσις καὶ ἀφωνίη. ἄκρεά τε τούτοισιν αἰεὶ μὲν ψυχρότερα ποδῶν καὶ χειρῶν, πολὺ δὲ περὶ τοὺς παροξυσμοὺς μάλιστα· πάλιν τε βραδέως καὶ οὐ καλῶς ἀνεθερμαίνοντο καὶ πάλιν κατενόεον καὶ διελέγοντο. κατεῖχε δὲ ἢ τὸ κῶμα συνεχές, οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι. κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι τούτων, διαχωρήμασιν ὠμοῖσι, λεπτοῖσι, πολλοῖσιν· οὖρά τε πολλὰ λεπτὰ κρίσιμον οὐδὲ χρηστὸν οὐδὲν ἔχοντα· οὐδὲ ἄλλο κρίσιμον οὐδὲν τοῖσιν οὕτως ἔχουσιν ἐφαίνετο· οὔτε γὰρ ἡμορράγει καλῶς οὔτε τις ἄλλη τῶν εἰθισμένων ἀπόστασις ἐγένετο κρίσιμος. ἔθνῃσκόν τε ἕκαστος, ὡς τύχοι, πεπλανημένως τὰ πολλά, περὶ τὰς κρίσιας, ἐκ πολλοῦ δέ τινες ἄφωνοι, ἱδρῶντες πολλοί. τοῖσι μὲν ὀλεθρίως ἔχουσι συνέπιπτε ταῦτα· παραπλήσια δὲ καὶ τοῖσι φρενιτικοῖσιν. ἄδιψοι δὲ πάνυ οὗτοι ἦσαν, οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδείς, ὥσπερ ἐπ' ἄλλοισιν, ἀλλ' ἄλλῃ τινὶ καταφορῇ νωθρῇ καρηβαρέες ἀπώλλυντο.*

7. *Ἦσαν δὲ καὶ ἄλλοι πυρετοί, περὶ ὧν γεγράψεται.* 84 *στόματα πολλοῖσιν ἀφθώδεα, ἑλκώδεα. ῥεύματα περὶ*

2 *γιν.* V 3 *ἤδε* DGal. 4 *π. οὐκ ὀξ.* Gal. in cit. VII 651, Littr. *διψώδης* V 5 *σμικρὰ* H, *μικρὰ* R' Gal. 7 *καὶ ἄφεσις* om. V *τε* et *αἰεὶ* om. Gal. 11 *κῶμμα* V 16 *ἐπεφαίν.* D Gal. 19 *τινος* V 20 *ἱδρῶτες* V *μὲν οὖν ὀλ.* D 24 *καταφ. ν. καρηβ.* Gal. in cit. XVI 579, *καταφ. κακῇ ν. βαρέως* codd. 26 *αὐθώδεα* V

αἰδοῖα πολλά, ἑλκώματα, φύματα ἔξωθεν, ἔσωθεν· τὰ περὶ βουβῶνας. ὀφθαλμίαι ὑγραί, μακροχρόνιοι μετὰ πόνων. ἐπιφύσιες βλεφάρων ἔξωθεν, ἔσωθεν, πολλῶν φθείροντα τὰς ὄψιας, ἃ σῦκα ἐπονομάζουσιν. ἐφύετο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἑλκέων πολλὰ καὶ ἐν αἰδοίοισιν. ἄνθρακες πολλοὶ κατὰ θέρος καὶ ἄλλα, ἃ σὴψ καλεῖται. ἐκθύματα μεγάλα. ἕρπητες πολλοῖσι μεγάλοι.

8. *Τὰ δὲ κατὰ κοιλίην πολλοῖσι πολλὰ καὶ βλαβερὰ συνέβαινε. πρῶτον μὲν τεινεσμοὶ πολλοῖσιν ἐπιπόνως, πλείστοισι δὲ παιδίοισι, καὶ πᾶσιν ὅσα πρὸ ἥβης, καὶ ἀπώλλυντο τὰ πλεῖστα τούτων. λειεντερικοὶ πολλοί.*
86 *δυσεντεριώδεες, οὐδ' οὗτοι λίην | ἐπιπόνως. τὰ δὲ χολώδεα καὶ λιπαρὰ καὶ λεπτὰ καὶ ὑδατώδεα· πολλοῖσι μὲν αὐτὸ τὸ νόσημα ἐς τοῦτο κατέσκηψεν ἄνευ τε πυ-*
88 *ρετῶν καὶ ἐν πυρετοῖσι. μετὰ πόνων | στρόφοι καὶ ἀνειλήσιες κακοήθεες. διέξοδοί τε τῶν πολλῶν ἐνόντων τε καὶ ἐπισχόντων. τὰ δὲ διεξιόντα πόνους οὐ λύοντα τοῖσί τε προσφερομένοισι δυσκόλως ὑπακούοντα· καὶ γὰρ αἱ καθάρσιες τοὺς πλείστους προσέβλαπτον. τῶν δὲ οὕτως ἐχόντων πολλοὶ μὲν ὀξέως ἀπώλλυντο, ἔστι δ' οἷσι καὶ μακρότερα διῆγεν. ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντες, καὶ οἱ τὰ μακρὰ νοσέοντες καὶ οἱ τὰ ὀξέα, ἐκ τῶν κατὰ κοιλίην ἀπέθνῃσκον μάλιστα. πάντας γὰρ κοιλίη συναπήνεγκεν.*

90 9. *Ἀπόσιτοι δ' ἐγένοντο πάντες μὲν καὶ ἐπὶ πᾶσι τοῖσι προγεγραμμένοισιν, ὡς ἐγὼ οὐδὲ πώποτε ἐνέτυ-*

2 *μακραί, χρόνιαι* V, *μακροχρόνιαι* D, *-οι* Erm. 4 *ἃς* D Gal. 5 *πολλαὶ* V 6 *σῆψις* D[1] Gal. 7 *ἐκφύματα* V *ἑρπῆνες* V 9 *τηνεσμοὶ* V 10 *πᾶσιν* D Gal., *παισὶν* V *ὅσα* codd., *ὅσοι* vulg. 14 *τε* om. V 16 *κακοηθέες* V 17 *τε* om. V *τά τε διεξ.* V, *τὰ δ' ἐξ.* D Gal. 20. 21 *ἔ. δ' οἷσι* V, *πολλοῖσι δὲ* vulg.

χον, πολὺ δὲ μάλιστα οὗτοι καὶ [οἱ] ἐκ τούτων καὶ ἐκ τῶν ἄλλων δὲ οἳ καὶ ὀλεθρίως ἔχοιεν. διψώδεες οἱ μέν, οἱ δ' οὔ· τῶν ἐν πυρετοῖσι καὶ τοῖσιν ἄλλοισιν οὐδεὶς ἀκαίρως, ἀλλ' ἦν κατὰ ποτὸν διαιτᾶν ὡς ἤθελες.

10. *Οὖρα* δὲ πολλὰ μὲν τὰ διεξιόντα ἦν, οὐκ ἐκ τῶν προσφερομένων ποτῶν, ἀλλὰ πολλὸν ὑπερβάλλοντα. πολλὴ δέ τις καὶ τῶν οὔρων κακότης ἦν τῶν ἀπιόντων. οὔτε γὰρ πάχος οὔτε πεπασμοὺς οὔτε καθάρσιας χρηστὰς εἶχεν. [ἐπὶ πολλοῖσι γὰρ αἱ κατὰ κύστιν καθάρσιες χρησταὶ γενόμεναι ἀγαθόν.] ἐσήμαινεν δὲ τοῖσι πλείστοισι σύντηξιν καὶ ταραχὴν καὶ πόνους καὶ ἀκρισίας.

11. *Κωματώδεες* δὲ μάλιστα οἱ φρενιτικοὶ καὶ οἱ καυσώδεες ἦσαν, ἀτὰρ καὶ ἐπὶ τοῖς ἄλλοισι νοσήμασι 92
πᾶσι τοῖσι μεγίστοισιν, ὅ τι μετὰ πυρετοῦ γίνοιτο. διὰ παντὸς δὲ τοῖσι πλείστοισιν ἢ βαρὺ κῶμα παρείπετο ἢ μικροὺς καὶ λεπτοὺς ὕπνους κοιμᾶσθαι.

12. *Πολλὰ* δὲ καὶ ἄλλα πυρετῶν ἐπεδήμησεν εἴδεα, τριταίων, τεταρταίων, νυκτερινῶν, συνεχέων, μακρῶν, πεπλανημένων, ἀσωδέων, ἀκαταστάτων. ἅπαντες δὲ οὗτοι μετὰ πολλῆς ἐγίνοντο ταραχῆς· κοιλίαι τε γὰρ τοῖσι πλείστοισιν ταραχώδεες, φρικώδεες. ἱδρῶτες οὐ κρίσιμοι, καὶ τὰ τῶν οὔρων ὡς ὑπογέγραπται. μακρὰ δὲ τοῖσι πλείστοισι τούτων· οὐδὲ γὰρ αἱ γινόμεναι

1 *αὐτοὶ* V, *οὗτοι* DQ' Gal. Litt. *οἱ* del. Blass ante alt. *ἐκ* add. *οἱ* V 2 *οἱ ὀλ. ἔχοντες* DGal. 3 *οἳ* V 4 *ἄλλην* pro *ἀλλ' ἦν* V *δίαιταν* V 9. 10 *πεπασμὸς οὔτε κάθαρσις χρηστὴ* V Gal. 10 *εἶχεν* om. Gal. *ἐπὶ πολλοῖσι . . . ἀγαθὸν* expunxit Erm. Idem librorum *ἐσήμαινον* mut. in *ἐσήμαινε*, (-*ν* scripsi) *ἐσόμενον· τοῖσι δὲ* Gal. 12 post *πόν.* add. *καὶ χρόνους* DQ' Gal. Merc. 17 *διαπαντὸς* V 17. 18 *παρεῖτο* V 18 *μακροὺς* V 21 *ἀσώδεων* V 23 *ἀσώδεες* pro *ταραχ.* V

τούτοισιν ἀποστάσιες ἔκρινον ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι. δύσκριτα μὲν οὖν πᾶσι πάντα ἐγίνετο καὶ ἀκρισίαι καὶ χρόνια, πολὺ δὲ μάλιστα τούτοις. ἔκρινε δὲ τούτων ὀλίγοισι περὶ ὀγδοηκοστήν. τοῖσι δὲ πλείστοισιν ἐξέλειπεν ὡς ἔτυχεν. ἔθνησκον δὲ τούτων ὀλίγοι ὑπὸ ὕδρωπος ὀρθοστάδην. πολλοῖσι δὲ καὶ ἐπὶ τοῖσιν ἄλλοισι νοσήμασιν οἰδήματα παρώχλει, πολὺ δὲ μάλιστα τοῖσι φθινώδεσι.

13. *Μέγιστον δὲ καὶ χαλεπώτατον καὶ πλείστους ἔκτεινε τὸ φθινῶδες. πολλοὶ γάρ τινες ἀρξάμενοι*
94 *κατὰ χειμῶνα πολλοὶ μὲν | κατεκλίνησαν, οἱ δὲ αὐτῶν ὀρθοστάδην ὑπεφέροντο· πρωὶ δὲ τοῦ ἦρος ἔθνησκον οἱ πλεῖστοι τῶν κατακλινέντων· τῶν δὲ ἄλλων ἐξέλιπον μὲν αἱ βῆχες οὐδενί, ὑφίεσαν δὲ κατὰ θέρος. ὑπὸ δὲ τὸ φθινόπωρον κατεκλίνησαν πάντες καὶ πολλοὶ ἔθνησκον. μακρὰ δὲ τούτων οἱ πλεῖστοι διενόσεον. ἤρξατο μὲν οὖν τοῖσι πλείστοισι τούτων ἐξαίφνης ἐκ τούτων κακοῦσθαι· φρικώδεες πυκνά· πολλάκις πυρετοὶ συνεχέες, ὀξέες· ἱδρῶτες ἄκαιροι πολλοί, ψυχροὶ διὰ τέλεος· πολλὴ ψύξις, καὶ μόγις πάλιν ἀναθερμαινόμενοι· κοιλίαι ποικίλως ἐφιστάμεναι καὶ πάλιν ταχὺ καθυγραινόμεναι, περὶ δὲ τελευτὴν πᾶσι βιαίως καθυγραινόμεναι· καὶ τῶν περὶ πνεύμονα πάντων διάδοσις κάτω· πλῆθος οὔρων οὐ χρηστῶν· συντήξιες κακαί. αἱ δὲ βῆχες ἐνῆσαν μὲν διὰ τέλεος πολλαὶ καὶ πολλὰ ἀνάγουσαι πέπονα καὶ ὑγρά, μετὰ*

2 *οὖν* V, om. vulg. 9 *χαλεπὸν* V, *χαλεπώτατον* DQ' Gal. 12 *ὑπέφερον· τὸ* V 15 ante *κατεκλ.* add. *καὶ* V 15. 16 *πάλιν* pro *πολλοὶ* V 18 *πυκινὰ* V 19 post *ἱδρῶτες* add. *τὲ* V, om. D Gal. 22 *περὶ . . . καθυγραινόμεναι* om. V, praebet solus H i. m., unde recepit Littræus 24 *χρηστὸν* V 25 *διατέλεος* V 26 *ἀνάγουσα* V

πόνων δὲ οὐ λίην· ἀλλ' εἰ καὶ ἐπόνεον, πάνυ πρηέως πᾶσιν ἡ κάθαρσις τῶν ἀπὸ πνεύμονος ἐγίνετο. φάρυγγες οὐ λίην δακνώδεες, οὐδὲ ἁλμυρίδες οὐδὲν ἠνώχλεον· τὰ μέντοι γλίσχρα καὶ λευκὰ καὶ ὑγρὰ καὶ ἀφρώδεα πολλὰ ἀπὸ κεφαλῆς ᾔει. πολὺ δὲ μέγιστον κακὸν παρείπετο καὶ τούτοισι καὶ τοῖσιν ἄλλοισι τὰ περὶ τὴν ἀποσιτίην, καθάπερ ὑπογέγραπται· οὐδὲ γὰρ πότων μετὰ τροφῆς ἡδέως εἶχον, ἀλλὰ πάνυ διῆγον |
ἀδίψως· βάρος σώματος· κωματώδεες· τοῖσι πλείστοι- 96
σιν αὐτῶν οἴδημα, καὶ ἐς ὕδρωπα περιίσταντο· φρικώδεες, παράληροι περὶ θάνατον.

14. *Εἶδος* δὲ τῶν φθινωδέων ἦν τὸ λεῖον, τὸ ὑπόλευκον, τὸ φακῶδες, τὸ ὑπέρυθρον, τὸ χαροπόν,
λευκοφλεγματίαι, | πτερυγώδεες· καὶ γυναῖκες οὕτω. 98
τὸ μελαγχολικὸν καὶ ὕφαιμον· οἱ καῦσοι καὶ τὰ φρενιτικὰ καὶ τὰ δυσεντεριώδεα τούτων ἥπτετο. τεινεσμοὶ νέοισι φλεγματώδεσιν· αἱ μακραὶ διάρροιαι καὶ τὰ δριμέα διαχωρήματα καὶ λιπαρὰ πικροχόλοισιν.

15. *Ἦν* δὲ πᾶσι τοῖς ὑπογεγραμμένοις χαλεπώτατον μὲν τὸ ἔαρ καὶ πλείστους ἀπέκτεινε, τὸ δὲ θέρος ῥήϊστον, καὶ ἐλάχιστοι ἀπώλλυντο. τοῦ δὲ φθινοπώρου καὶ ὑπὸ πληϊάδα πάλιν ἔθνησκον, οἱ πολλοὶ τε-
ταρταῖοι. δοκεῖ δέ μοι | προσωφελῆσαι κατὰ λόγον 100

1 ἐπόνεον V, ὑπεπόνεον vulg. 8 πότοισι V 9 κωμματώδεες σώματος pro σώμ.· κωμ. V 15 τε post μελαγχ. vulg., om. V Gal. in comm. XVII, I 728 17 αἱ om. D Gal. 22. 23 Δ vetustiora τῶν ἀντιγράφων ap. Gal. et Littr., τετάρτη sive τετάρτῃ alia ἀντίγραφα Galeni, τεταρταῖοι alia ib., V, Artemidorus Capito, vulg., Δ om. alia ἀντίγρ. ib., Erm. cf. Littraei adn. ad l. et Ilb. in Mus. Rhen. XLV 120. Quae sequuntur Δοκεῖ — διαιτᾶν (232, 19) codices non hic, sed in extremo libro exhibent, unde probante Galeno huc transposuit Artem. Capito, quem sequuntur Foes. Littr. Erm.

τὸ γενόμενον θέρος· τὰς γὰρ θερινὰς νούσους χειμὼν ἐπιγενόμενος λύει, καὶ τὰς χειμερινὰς θέρος ἐπιγενόμενον μεθίστησι. καίτοι αὐτό γε ἐπὶ ἑωυτοῦ τὸ γενόμενον θέρος οὐκ εὐσταθὲς ἐγένετο· καὶ γὰρ ἐξαίφνης θερμὸν καὶ νότιον καὶ ἄπνοον· ἀλλ᾽ ὅμως πρὸς τὴν ἄλλην κατάστασιν μεταλλάξαν ὠφέλησε.

16. *Μέγα δὲ μέρος ἡγεῦμαι τῆς τέχνης εἶναι τὸ δύνασθαι σκοπεῖν καὶ περὶ τῶν γεγραμμένων ὀρθῶς.*
102 ὁ γὰρ γνοὺς καὶ | χρεώμενος τούτοις οὐκ ἄν μοι δοκεῖ μέγα σφάλλεσθαι ἐν τῇ τέχνῃ. δεῖ δὲ καταμανθάνειν τὴν κατάστασιν τῶν ὡρέων ἀκριβῶς ἑκάστην καὶ τὸ νόσημα, ἀγαθὸν ὅ τι κοινὸν ἐν τῇ καταστάσει ἢ ἐν τῇ νούσῳ, κακὸν ὅ τι κοινὸν ἐν τῇ καταστάσει ἢ ἐν τῇ νούσῳ, μακρὸν ὅ τι νόσημα καὶ θανάσιμον, μακρὸν ὅ τι καὶ περιεστικόν, ὀξὺ ὅ τι θανάσιμον, ὀξὺ ὅ τι περιεστικόν. τάξιν τῶν κρισίμων ἐκ τούτων σκοπεῖσθαι καὶ προλέγειν ἐκ τούτων εὐπορεῖται. εἰδότι περὶ τούτων ἔστιν εἰδέναι οὓς καὶ ὅτε καὶ ὡς δεῖ διαιτᾶν.

[Ἑκκαίδεκα ἄρρωστοι.]

17. α΄. Ἐν Θάσῳ τὸν Πάριον, ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, πυρετὸς ἔλαβεν ὀξύς, κατ᾽ ἀρχὰς συνεχής,
104 καυσώδης· δίψος· | ἀρχόμενος κωματώδης καὶ πάλιν ἄγρυπνος· κοιλίη ταραχώδης ἐν ἀρχῇσιν, οὖρα λεπτά. ἕκτῃ οὔρησεν ἐλαιῶδες, παρέκρουσεν. ἑβδόμῃ παρω-

4 καὶ γάρ V Gal. comm., ἀλλ᾽ vulg. 5 ἄπονον V
7 Μέγα — διαιτᾶν in principio libri περὶ κρισίμων iterata uncis inclusit Erm. 8 καὶ om. R′ et π. κρισίμων Littr. IX 298 κατασκοπέεσθαι ibid. 9 δοκέῃ V, δοκέοι M περὶ κρισίμων, δοκέει Foes. ibid. et Erm. 11. 12. τῶν νούσων in cit. π. κρισ. 13 καίριον pro κοινὸν V 16 ante περιεστικόν add. καὶ V 18 ἐστὶν V 24 καταρχὰς V

ξύνθη πάντα, οὐδὲν ἐκοιμήθη, ἀλλὰ οὖρά τε ὅμοια καὶ τὰ τῆς γνώμης ταραχώδεα· ἀπὸ δὲ κοιλίης χολώδεα, λιπαρὰ διῆλθεν. ὀγδόῃ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν, ἤμεσεν ἰώδεα ὀλίγα, σμικρὰ ἐκοιμήθη. ἐνάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ πάντα συνέδωκεν. ἑνδεκάτῃ ἵδρωσε δι' ὅλου· περιέψυξε, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. τεσσαρεσκαιδεκάτῃ πυρετὸς ὀξύς, διαχωρήματα χολώδεα, λεπτά, πολλά, οὔροισιν ἐναιώρημα, παρέκρουσεν. ἑπτακαιδεκάτῃ ἐπιπόνως· οὔτε γὰρ ὕπνοι, ὅ τε πυρετὸς ἐπέτεινεν. εἰκοστῇ ἵδρωσε δι' ὅλου· ἄπυ|ρος, 106
διαχωρήματα χολώδεα, ἀπόσιτος, κωματώδης. εἰκοστῇ τετάρτῃ ὑπέστρεψε. τριηκοστῇ τετάρτῃ ἄπυρος, κοιλίη οὐ συνίστατο, καὶ πάλιν ἀνεθερμάνθη. τεσσαρακοστῇ ἄπυρος, κοιλίη συνέστη χρόνον οὐ πολύν, ἀπόσιτος, σμικρὰ πάλιν ἐπύρεξε καὶ διὰ παντὸς πεπλανημένως· ἄπυρος τὰ μέν, τὰ δ' οὔ· εἰ γάρ τι διαλίποι καὶ διακουφίσαι, ταχὺ πάλιν ὑπέστρεφε. σιταρίοισί τε ὀλίγοισι καὶ φαύλοισι προσεχρῆτο. ὕπνοι κακοί, περὶ τὰς ὑποστροφὰς παρέκρουσεν. οὖρα πάχος μὲν ἔχοντα οὔρει τηνικαῦτα, ταραχώδεα δὲ καὶ πονηρά. καὶ τὰ κατὰ κοιλίην συνιστάμενα καὶ πάλιν διαλυόμενα. πυρέτια συνεχέα. διαχωρήματα λεπτά, πολλά. ἐν εἴκοσι καὶ ἑκατὸν ἔθανε. τούτῳ κοιλίη συνεχέως | ἀπὸ τῆς πρώ- 108
της ὑγρὴ χολώδεσιν, ὑγροῖσι πολλοῖσιν ἦν ἢ συνισταμένη ζέουσι καὶ ἀπέπτοισιν· οὖρα διὰ τέλεος κακά·

1 οὐδὲ V 3 ante ὀγδ. add. εἶτα τῇ vulg., om. V 6 ante δι' add. οὐ vulg., om. V 7 τρισκαιδεκάτῃ V, τεσσαρεσκ. Littr. ex Gal. comm. 9 ὅ τε Littr. ex Gal. cit. VII, 649, οὔτε V 10 ἄγρυπνος V, ἄπυρος Littr. ex Gal. cit. ibid. 12 ὑπέστρεφε V 15 ἐπύρωσε V διαπαντὸς V 17. 18 ὀλίγοισι scripsi, πολλοῖσι libri, cf. Herm. XXVII 306 φαυλ. VDH Gal. comm., φώλῃσι vulg. 20 τὰ om. V, add. Littr. ex Gal. citat. VII 649

κωματώδης τὰ πλεῖστα, μετὰ πόνων ἄγρυπνος, ἀπόσιτος συνεχέως. [καῦσος.]

β΄. Ἐν Θάσῳ τὴν κατακειμένην παρὰ τὸ ψυχρὸν
110 *ὕδωρ ἐκ | τόκου θυγατέρα τεκοῦσαν καθάρσιος οὐ γε-*
νομένης πυρετὸς ὀξὺς φρικώδης τριταίην ἔλαβεν. ἐκ
χρόνου δὲ πολλοῦ πρὸ τοῦ τόκου πυρετώδης ἦν, κα-
τακλινής, ἀπόσιτος. μετὰ δὲ τὸ γενόμενον ῥῖγος συνε-
χέες, ὀξέες, φρικώδεες οἱ πυρετοί. ὀγδόῃ πολλὰ παρέ-
κρουσε καὶ τὰς ἐχομένας καὶ ταχὺ πάλιν κατενόει·
κοιλίη ταραχώδης πολλοῖσι λεπτοῖσιν, ὑδατοχόλοις·
ἄδιψος. ἑνδεκάτῃ κατενόει, κωματώδης δ᾽ ἦν· οὖρα
πολλὰ λεπτὰ καὶ μέλανα, ἄγρυπνος. εἰκοστῇ σμικρὰ
περιέψυξε καὶ ταχὺ πάλιν ἀνεθερμάνθη, σμικρὰ παρέ-
λεγεν, ἄγρυπνος· τὰ κατὰ κοιλίην ἐπὶ τῶν αὐτῶν· οὖρα
ὑδατώδεα πολλά. εἰκοστῇ ἑβδόμῃ ἄπυρος, κοιλίη συνέ-
στη, οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἰσχίου δεξιοῦ ὀδύνη
ἰσχυρὴ χρόνον πολύν· πυρετοὶ πάλιν παρείποντο·
οὖρα ὑδατώδεα. τεσσαρακοστῇ τὰ μὲν περὶ τὸ ἰσχίον
ἐπεκούφισε, βῆχες δὲ συνεχέες ὑγραὶ πολλαί, κοιλίη
112 *συνέστη, ἀπόσιτος· οὖρα ἐπὶ τῶν αὐτῶν. οἱ δὲ πυρε-*
τοὶ τὸ μὲν ὅλον οὐκ ἐκλείποντες, πεπλανημένως δὲ
παροξυνόμενοι, τὰ μέν, τὰ δ᾽ οὔ. ἑξηκοστῇ αἱ μὲν
βῆχες ἀσήμως ἐξέλιπον· οὔτε γάρ τις πτυάλων πεπασ-
μὸς ἐγένετο οὔτε ἄλλη τῶν εἰθισμένων ἀπόστασις·
σιηγὼν δὲ ἡ ἐκ τῶν ἐπὶ δεξιὰ κατεσπάσθη· κωματώ-
δης· παρέλεγε καὶ ταχὺ πάλιν κατενόει· πρὸς δὲ τὰ
γεύματα ἀπονενοημένως εἶχεν· σιηγὼν μὲν ἐπανῆκε,

2 post *καῦσος* add. ΠΙΤΦΑΥΡΚΘ V, Π pro Τ Littr. 4 *οὔτε* V, *οὐ* R′ Gal. 7 *κατὰ κλίνης* V *ῥίγος* V ut saepius 9 *πάλ. ταχὺ* V 10 *ὑδατόχολα* V, *-χόλοις* vulg. 13. 14 *παρέληγεν* V 17 *χρ. οὐ πολῦν* V 25 *ἐπιδεξιὰ* V 26 *πάλιν καὶ ταχὺ* codd., ordinem restit. Erm. 27 ante *σιηγὼν* add. *ἡ* V, om. D

κοιλίη δὲ χολώδεα σμικρὰ διέδωκεν, ἐπύρεξεν ὀξυτέρως, φρικώδης· καὶ τὰς ἐχομένας ἄφωνος καὶ πάλιν διελέγετο. ὀγδοηκοστῇ ἀπέθανε. ταύτῃ τὰ τῶν οὔρων διὰ τέλεος ἦν μέλανα καὶ λεπτὰ καὶ ὑδατώδεα· κῶμα παρείπετο, ἀπόσιτος, ἄθυμος, ἄγρυπνος, ὀργαί, δυσφορίαι, τὰ περὶ τὴν γνώμην μελαγχολικά.

γ΄. Ἐν Θάσῳ Πυθίωνα, ὃς κατέκειτο ὑπεράνω τοῦ
Ἡρακλείου, ἐκ πόνων καὶ κόπων καὶ διαίτης γενο-
μένης ἀμελέος ῥῖγος μέγα καὶ πυρετὸς ὀξὺς ἔλαβε.
γλῶσσα ἐπίξηρος, διψώδης, χολώδης, οὐχ ὕπνωσεν, 114
οὖρα ὑπομέλανα, ἐναιώρημα μετέωρον, οὐχ ἱδρύετο. 11
δευτέρῃ περὶ μέσον ἡμέρης ψύξις ἀκρέων, τὰ περὶ χεῖρας
καὶ κεφαλὴν μᾶλλον, ἄναυδος, ἄφωνος, βραχύπνοος ἐπὶ
πολὺν χρόνον, ἀνεθερμάνθη, δίψα, νύκτα δι' ἡσυχίης,
ἵδρωσε περὶ κεφαλὴν σμικρά. τρίτῃ ἡμέρην δι' ἡσυ-
χίης, ὀψὲ δὲ περὶ ἡλίου δυσμὰς ὑπεψύχθη σμικρά,
ἄσῃ, ταραχή, νυκτὸς ἐπιπόνως, οὐδὲν ὕπνωσεν, ἀπὸ
δὲ κοιλίης σμικρὰ συνεστηκότα κόπρανα διῆλθε. τετάρτῃ
πρωὶ δι' ἡσυχίης, περὶ δὲ μέσον ἡμέρης πάντα παρω-
ξύνθη, ψύξις, ἄναυδος, ἄφωνος, ἐπὶ τὸ χεῖρον, ἀνεθερ-
μάνθη μετὰ χρόνον, οὔρησε μέλανα ἐναιώρημα ἔχοντα,
νύκτα δι' ἡσυχίης, ἐκοιμήθη. πέμπτῃ ἔδοξε | κουφί- 116
σαι, κατὰ δὲ κοιλίην βάρος μετὰ πόνου, διψώδης,
νύκτα ἐπιπόνως. ἕκτῃ πρωὶ μὲν δι' ἡσυχίης, δείλης
δὲ οἱ πόνοι μέζους, παρωξύνθη, ἀπὸ δὲ κοιλίης ὀψὲ
κλυσματίῳ καλῶς διῆλθε, νυκτὸς ἐκοιμήθη. ἑβδόμῃ

2 φρικώδη V 3 ante διελέγετο add. κατενόει καὶ rel. omn., om. V ὀγδόῃ V 4 λεπτὰ ἢ ὑδ. V 6 post μελαγχ. add. ΠΙΔΛΕΓΘ V, Π pro Γ Littraeus auctore Foesio 9 καὶ om. V 11 ἵδρυτο V vulg., scripsi ἱδρύετο, item 241, 18 12 δευτέρα ut ubique V 14 δι' (vulg.) om. V 21 ἔχοντα vulg., om. V

ἡμέρῃ ἀσώδης, ὑπεδυσφόρει, οὔρησεν ἐλαιῶδες, νυκτὸς ταραχὴ πολλή, παρέλεγεν, οὐδὲν ἐκοιμήθη. ὀγδόῃ πρωὶ μὲν ἐκοιμήθη σμικρά, ταχὺ δὲ ψύξις, ἀφωνίη, λεπτὸν πνεῦμα καὶ μινυθῶδες, ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη, παρέκρουσεν, ἤδη δὲ πρὸς ἡμέρην σμικρὰ ἐκουφίσθη, διαχωρήματα ἄκρητα, σμικρὰ, χολώδεα. ἐνάτῃ κωματώδης, ἀσώδης, ὅτε διεγείροιτο· οὐ λίην διψώδης· περὶ δὲ ἡλίου δυσμὰς ἐδυσφόρει, παρέλεγε, νύκτα κακήν. δεκάτῃ πρωὶ ἄφωνος, πολλὴ ψύξις, πυρετὸς ὀξύς, πολὺς ἱδρώς, ἔθανεν. ἐν ἀρτίῃσιν οἱ πόνοι τούτῳ.

δ΄. Ὁ φρενιτικὸς τῇ πρώτῃ κατακλινεὶς ἤμεσεν ἰώδεα πολλά, λεπτά, πυρετὸς φρικώδης πολύς, ἱδρὼς συνεχὴς δι᾽ ὅλου, κεφαλῆς καὶ τραχήλου βάρος μετ᾽
118 *ὀδύνης, οὖρα λεπτά,* | *ἐναιωρήματα σμικρά, διεσπασμένα, οὐχ ἱδρύετο. ἀπὸ δὲ κοιλίης ἐξεκόπρισεν ἀθρόα πολλὰ, παρέκρουσεν, οὐδὲν ὕπνωσε. δευτέρῃ πρωὶ ἄφωνος, πυρετὸς ὀξὺς, ἵδρωσεν, οὐ διέλιπε, παλμοὶ δι᾽ ὅλου τοῦ σώματος, νυκτὸς σπασμοί. τρίτῃ πάντα παρωξύνθη. τετάρτῃ ἔθανεν.*

ε΄. Ἐν Λαρίσῃ φαλακρὸς μηρὸν δεξιὸν ἐπόνησεν ἐξαίφνης· τῶν δὲ προσφερομένων οὐδὲν ὠφέλει. τῇ πρώτῃ πυρετὸς ὀξύς, καυσώδης, ἀτρεμέως εἶχεν, οἱ δὲ πόνοι παρείποντο. δευτέρῃ τοῦ μηροῦ μὲν ὑφίεσαν οἱ πόνοι, ὁ δὲ πυρετὸς ἐπέτεινεν, ὑπεδυσφόρει, οὐκ

2 *ταραχῇ πολλῇ* V 3 *σμικρὸν* Gal. in cit. V 835 4 *μυχθῶδες* Coraes, notes p. 75 6 *ἄκριτα* V 10 post *τούτῳ* add. Π̅Ι̅ Τ̅ Ι̅ Π̅ Α̅ Θ̅ V, Π Ι Ι Π Ι Θ Littraeus auctore Foesio 14 *ἐναιρήματα* V 15 *ἵδρυτο* V 19 *τετάρτῃ* om. Littraeus Galenum secutus, qui (comm. XVII, I 761 et 762 ed. Kuehn) tertio die hunc aegrotum perisse dicit. *δείλης* pro *τετάρτῃ* Rhd. post *ἔθανεν* add. Π̅Ι̅ Ρ̅ Ϲ̅ Θ̅ V 20 *Λαρίσσῃ* libri, *Λαρίσῃ* Ald., Blass, item 241, 20

ἐκοιμᾶτο, ἄκρεα ψυχρά, οὔρων πλῆθος διῄει οὐ χρηστῶν. τρίτῃ τοῦ μηροῦ μὲν ὁ πόνος ἐπαύσατο, παρακοπὴ δὲ τῆς γνώμης καὶ ταραχὴ καὶ πολὺς βληστρισμός. τετάρτῃ περὶ μέσον ἡμέρης ἔθανεν. [ὀξύ.]

| ϛ'. Ἐν Ἀβδήροισι Περικλέα πυρετὸς ἔλαβεν ὀξύς, 120
συνεχὴς μετὰ πόνου, πολλὴ δίψα, ἄση, ποτὸν κατέχειν οὐκ ἠδύνατο· ἦν δὲ ὑπόσπληνός τε καὶ καρηβαρικός. τῇ πρώτῃ ἡμορράγησεν ἐξ ἀριστεροῦ· πολὺς μέντοι ὁ πυρετὸς ἐπέτεινεν· οὔρησε πολὺ θολερόν, λευκόν· κείμενον οὐ καθίστατο. δευτέρῃ πάντα παρωξύνθη· τὰ μέντοι οὖρα παχέα μὲν ἦν, ἱδρυμένα δὲ μᾶλλον· καὶ τὰ περὶ τὴν ἄσην ἐκούφισεν, ἐκοιμήθη. τρίτῃ πυρετὸς ἐμαλάχθη, οὔρων πλῆθος, πέπονα, πολλὴν ὑπόστασιν ἔχοντα, νύκτα δι' ἡσυχίης. τετάρτῃ περὶ μέσον ἡμέρης ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος, ἐκρίθη, οὐχ ὑπέστρεψεν. [ὀξύ.]

| ζ'. Ἐν Ἀβδήροισι τὴν παρθένον, ἣ κατέκειτο ἐπὶ 122
τῆς ἱρῆς ὁδοῦ, πυρετὸς καυσώδης ἔλαβεν· ἦν δὲ διψώδης καὶ ἄγρυπνος. κατέβη δὲ τὰ γυναικεῖα πρῶτον αὐτῇ. ἕκτῃ ἄση πολλή, ἔρευθος, φρικώδης, ἀλύουσα. ἑβδόμῃ διὰ τῶν αὐτῶν, οὖρα λεπτὰ μέν, εὔχρω δέ, τὰ περὶ τὴν κοιλίην οὐκ ἠνώχλει. ὀγδόῃ κώφωσις, πυρετὸς ὀξύς, ἄγρυπνος, ἀσώδης, φρικώδης, κατενόει, οὖρα ὅμοια. ἐνάτῃ διὰ τῶν αὐτῶν· καὶ τὰς ἑπομένας οὕτως· ἡ κώφωσις παρέμενε. τεσσαρεσκαιδεκάτῃ τὰ τῆς γνώμης ταραχώδεα, ὁ πυρετὸς συνέδωκεν. ἑπτακαιδεκάτῃ διὰ ῥινῶν ἐρρύη πολύ, ἡ κώφωσις σμικρὰ

1. 2 χρηστὰ V 4 ὀξύς V, post ὀξ. add. ΠΙΥΔΘΠΙΑΒΓΔΘ V 5 αὐδήροις V 11 δριμέα pro ἱδρυμένα V 16 οὔθ' V post ὀξύ. add. ΠΙΔΙΑΥΠΑΘΙΙΒΑΥ V 17 αὐδήροισι ex ἀβδ· mut. V 18 ἱερῆς libri

συνέδωκε. καὶ τὰς ἑπομένας ἄσῃ, κωφότης· ἐνῆν καὶ παράληρος. εἰκοστῇ ποδῶν ὀδύνη· κωφότης, παράληρος ἀπέλιπεν, ἡμορράγησε σμικρὰ διὰ ῥινῶν, ἵδρωσεν, ἄπυρος. εἰκοστῇ τετάρτῃ ὁ πυρετὸς ὑπέστρεψε, κώφωσις πάλιν, ποδῶν ὀδύνη παρέμενεν, παρακοπή. εἰκοστῇ ἑβδόμῃ ἵδρωσε πολλῷ, ἄπυρος, ἡ κώφωσις ἐξέλιπεν, ἡ τῶν ποδῶν ὑπέμενεν ὀδύνη, τὰ δ' ἄλλα τελέως ἐκρίθη.

124 | *η'. Ἐν Ἀβδήροισιν Ἀναξίωνα, ὃς κατέκειτο παρὰ τὰς Θρηϊκίας πύλας, πυρετὸς ὀξὺς ἔλαβε· πλευροῦ δεξιοῦ ὀδύνη συνεχής, ἔβησσε ξηρά, οὐδ' ἔπτυε τὰς πρώτας· διψώδης, ἄγρυπνος, οὖρα δὲ εὔχρω πολλὰ λεπτά. ἕκτῃ παράληρος· πρὸς δὲ τὰ θερμάσματα οὐδὲν ἐνεδίδου. ἑβδόμῃ ἐπιπόνως· ὁ γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ συνεδίδοσαν, αἵ τε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. ὀγδόῃ ἀγκῶνα ἔταμον· ἐρρύη πολλὸν οἷον δεῖ· συνέδωκαν μὲν οἱ πόνοι, αἱ μέντοι βῆχες αἱ ξηραὶ παρείποντο. ἑνδεκάτῃ συνέδωκαν οἱ πυρετοί, σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν, αἵ τε βῆχες καὶ τὰ ἀπὸ πνεύμονος ὑγρότερα. ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ*
126 *πέπονα πτύειν· ἐκου|φίσθη. εἰκοστῇ ἵδρωσεν ἄπυρος, μετὰ δὲ κρίσιν [ἐκουφίσθη] διψώδης τε ἦν καὶ τῶν*

5 *παρέμειν.* codd., dedi impf. 8 post *ἐκρίθη* add. Π̄ Ι Ō Κ Ζ̄ Ȳ V 9 *αὐδήροισιν* V ut solet *ἀναξιώσαν* V, *ἀναξίων* Gal. in cit. IX 629 11 *βὴξ* Gal. l. l. *ξηρῇ* V *οὐδὲν* Gal. l. l. 12 post *πρώτας* add. *ἡμέρας* Gal. in cit. VII 855 *λεπτὰ καὶ πολλὰ* Gal. in cit. IX 629 13 *εἰς* pro *πρὸς* Gal. in cit. XVII, II 392 14 *ἐνεδίδοτο* Gal. in cit. IX 629 *ἐπίπονος· ὅ τε γὰρ* Gal. in citationibus 16 *ἔτεμον* V 17 *ἔδει* Gal. IX 629 et XVII, II 392 *μὲν* om. Gal. l. l. 18 *αἱ* ante *ξηραὶ* add. Gal. IX 629, om. codd. 19 *ἔτι* V vulg., in *ἔτι* latere *αἵ τε* primus vidit Littraeus, *αἵ τε* om. Gal. IX 629, *αἱ βῆχες* Gal. XVII, II 393 20 *ὑγρὰ* Gal. ibid. 21 *ἐκουφίσθη* om. Gal. XVII, II 393 *ἀπύρετος ἐγένετο* Gal. IX 629 et XVII, II 393 22 *ἐκουφίσθη* del. Littr. *δὲ* pro

ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσιες. εἰκοστῇ ἑβδόμῃ ὁ πυρετὸς ὑπέστρεψεν, ἔβησσεν, ἀνῆγε πέπονα πολλά, οὔροισιν ὑπόστασις πολλὴ λευκή, ἄδιψος ἐγένετο, εὔπνοος. τριηκοστῇ τετάρτῃ ἵδρωσε δι' ὅλου, ἄπυρος, ἐκρίθη πάντα.

θ'. Ἐν Ἀβδήροισιν Ἡρόπυθος κεφαλὴν ὀρθοστά- 128
δην ἐπιπόνως εἶχεν, οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατεκλίνη. ᾤκει πλησίον τῆς ἄνω ἀγωγῆς. πυρετὸς ἔλαβε καυσώδης, ὀξύς· ἔμετοι τὸ κατ' ἀρχὰς πολλῶν χολωδέων, διψώδης, πολλὴ δυσφορίη, οὖρα λεπτὰ μέλανα, ἐναιώρημα μετέωρον ὁτὲ μέν, ὁτὲ δ' οὔ· νύκτα ἐπιπόνως, πυρετὸς ἄλλοτε ἀλλοίως παροξυνόμενος, τὰ πλεῖστα ἀτάκτως. περὶ δὲ τεσσαρεσκαιδεκάτην κώφωσις, οἱ πυρετοὶ ἐπέτεινον, οὖρα διὰ τῶν αὐτῶν. εἰκοστῇ πολλὰ παρέκρουσε καὶ τὰς ἐπομένας. τεσσαρακοστῇ διὰ ῥινῶν ἡμορράγησε πολὺ καὶ κατενόει μᾶλλον· ἡ κώφωσις ἐνῆν μέν, ἧσσον δέ· οἱ πυρετοὶ συνέδωκαν. ἡμορράγει τὰς ἐπομένας πυκνὰ κατ' ὀλίγον. περὶ δὲ ἑξηκοστὴν αἱ μὲν αἱμορραγίαι ἀπεπαύσαντο, ἰσχίου δὲ δεξιοῦ ὀδύνη ἰσχυρὴ καὶ οἱ πυρετοὶ ἐπέτεινον. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον πόνοι τῶν κάτω πάντων· συνέπιπτε δὲ ἢ τοὺς πυρετοὺς εἶναι μέζους καὶ τὴν κώφωσιν πολλὴν ἢ ταῦτα μὲν ὑφιέναι καὶ κουφίζειν, τῶν δὲ κάτω περὶ ἰσχία μέζους εἶναι τοὺς πόνους.

τε V, τε Littraeus ex cit. Gal. XVII, II 393 1 ἑβδ. καὶ εἰκ. V Gal. IX 629 2 ὑπέστρεφεν V ἀνήγαγε Gal. IX 629 3 οὔρων Gal. ibid. ante λευκὴ add. καὶ Gal. ibid. 4 ὕπνοι pro εὔπνοος libri, εὔπνους Gal. in cit. IX 630, unde Littraeus εὔπνοος τετ. καὶ τριακ. Gal. IX 630 ἀπύρετος ἐκρ. πάντῃ Gal. IX 630 et XVII, II 393 5 post πάντα add. ΠΙΠΔΛΔΥ V 8 ἀγορῆς ? Blass 10 πολλῇ V 11 ὅτε (bis) V 12 πυρετοὶ . . παροξυνόμενοι Gal. comm. 14 ἐπέτ. Erm., ἐξέτ. codd. 20 ἰσχυρῶς V ἐνέτ. V 24 ⟨καὶ⟩ ante περὶ ? Blass

ἤδη δὲ περὶ ὀγδοηκοστὴν συνέδωκε μὲν πάντα, ἐξέλιπε δὲ οὐδέν· οὖρά τε γὰρ εὔχρω καὶ πλείους ὑποστάσιας ἔχοντα κατέβαινεν, οἵ παράληροί τε μείους ἦσαν. περὶ δὲ ἑκατοστὴν κοιλίη πολλοῖσι χολώδεσιν ἐπεταράχθη, καὶ ᾖει χρόνον οὐκ ὀλίγον πολλὰ τοιαῦτα, καὶ πάλιν δυσεντεριώδεα μετὰ πόνου, τῶν δὲ ἄλλων ῥᾳστώνη. τὸ δὲ σύνολον οἵ τε πυρετοὶ ἐξέλιπον καὶ ἡ κώφωσις |
130 ἐπαύσατο. ἐν ἑκατοστῇ εἰκοστῇ τελέως ἐκρίθη. [καῦσος.]

ι'. Ἐν Ἀβδήροισι Νικόδημον ἐξ ἀφροδισίων καὶ πότων πῦρ ἔλαβεν. ἀρχόμενος δὲ ἦν ἀσώδης καὶ καρδιαλγικός, διψώδης, γλῶσσα ἐπεκαύθη, οὖρα λεπτὰ μέλανα. δευτέρῃ ὁ πυρετὸς παρωξύνθη, φρικώδης, ἀσώδης, οὐδὲν ἐκοιμήθη, ἤμεσε χολώδεα ξανθά, οὖρα ὅμοια, νύκτα δι' ἡσυχίης, ὕπνωσε. τρίτῃ ὑφῆκε πάντα, ῥᾳστώνη· περὶ δὲ ἡλίου δυσμὰς πάλιν ὑπεδυσφόρει, νύκτα ἐπιπόνως. τετάρτῃ ῥῖγος, πυρετὸς πολύς, πόνοι πάντων, οὖρα λεπτά, ἐναιώρημα· νύκτα πάλιν δι'
132 ἡσυχίης. | πέμπτῃ ἐνῆν μὲν πάντα, ῥαστώνη δὲ ἦν. ἕκτῃ τῶν αὐτῶν πόνοι πάντων, οὔροισιν ἐναιώρημα, παρέκρουσε πολλά. ἑβδόμῃ ῥᾳστώνη. ὀγδόῃ τὰ ἄλλα συνέδωκε πάντα. δεκάτῃ καὶ τὰς ἑπομένας ἐνῆσαν μὲν οἱ πόνοι, ἧσσον δὲ πάντες· οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τούτῳ διὰ τέλεος ἐν ἀρτίῃσιν ἦσαν μᾶλλον. εἰκοστῇ οὔρησε λευκόν, πάχος εἶχε, κείμενον οὐ καθίστατο· ἵδρωσε πολλῷ, ἔδοξεν ἄπυρος γενέσθαι, δείλης δὲ πάλιν ἐθερμάνθη, καὶ τῶν αὐτῶν πόνοι. φρίκη,

4 ἕκαστος τὴν κοιλίην V 8 εἰκ. om. V, restituit Littr. ex cod. Germanico Foesii et Gal. de dieb. decretoriis lib. II (IX 857 Kuehn) post καῦσος add. ΠΙΧΔΡΚΥ V 9 αὐδήροισι V 10 ἀρχόμενος (με in ras.) V 15 ῥαστώνη, α in ras. V 16 ῥίγος V 19 οὔρησεν V 20 τὰ δ' ἄλλα V 23 διατελέως V

δίψα, σμικρὰ παρέκρουσεν. εἰκοστῇ τετάρτῃ οὔρησε πολὺ λευκόν, πολλὴν ὑπόστασιν ἔχον. ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου, ἄπυρος ἐκρίθη.

ιαʹ. Ἐν Θάσῳ γυνὴ δυσάνιος ἐκ λύπης μετὰ προ- 134
φάσιος ὀρθοστάδην ἐγένετο ἄγρυπνός τε καὶ ἀπόσιτος καὶ διψώδης ἦν καὶ ἀσώδης. ᾤκει δὲ πλησίον τῶν Πυλάδεω ἐπὶ τοῦ λείου. τῇ πρώτῃ ἀρχομένης νυκτὸς φόβοι, λόγοι πολλοί, δυσθυμίη, πυρέτιον λεπτόν. πρωῒ σπασμοὶ πολλοί· ὅτε δὲ διαλίποιεν οἱ σπασμοὶ οἱ πολλοί, παρέλεγεν, ἠσχρομύθει· πολλοὶ πόνοι, μεγάλοι, συνεχέες. δευτέρῃ διὰ τῶν αὐτῶν, οὐδὲν ἐκοιμᾶτο, πυρετὸς ὀξύτερος. τρίτῃ οἱ μὲν σπασμοὶ ἀπέλιπον, κῶμα δὲ καὶ καταφορὴ καὶ πάλιν ἔγερσις· ἀνήϊσσε, κατέχειν οὐκ ἠδύνατο, παρέλεγε πολλά, πυρετὸς ὀξύς, ἐς νύκτα δὲ ταύτην ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου· ἄπυρος, ὕπνωσε, πάντα κατενόει, ἐκρίθη. περὶ δὲ τρίτην ἡμέρην οὖρα μέλανα λεπτά, ἐναιώρημα δὲ ἐπὶ πολὺ στρογγύλον, οὐχ ἱδρύετο, περὶ δὲ κρίσιν γυναικεῖα πολλὰ κατέβη.

ιβʹ. Ἐν Λαρίσῃ παρθένον πυρετὸς ἔλαβε καυσώ- 136
δης, ὀξύς· ἄγρυπνος, διψώδης, γλῶσσα λιγνυώδης, ξηρή· οὖρα εὔχρω μέν, λεπτὰ δέ. δευτέρῃ ἐπιπόνως, οὐχ ὕπνωσε. τρίτῃ πολλὰ διῆλθεν ἀπὸ κοιλίης ὑδατόχλοα, καὶ τὰς ἑπομένας ᾔει τοιαῦτα εὐφόρως. τετάρτῃ οὔρησε λεπτὸν ὀλίγον, εἶχεν ἐναιώρημα μετέωρον, οὐχ ἱδρύετο,

1 τετάρτῃ καὶ κʹ Gal. in cit. IX 857 2 ἔχον ὑπόστ. Gal. ibid. πολλῷ om. Gal. ibid. 3 post ἐκρίθη add. ΠΙΧ̄ΔῙΚ̄Ā Ῡ V, Δ pro Ā Littraeus auctore Foesio 4 δυσήν. codd., δυσάν. vulg. Gal. Harpocr. s. v. 4. 5 προφάος V 7 Πυλάδου codd., scripsi -δεω 11 οὐδὲ V 13 κῶμμα V ut solet 14 παρελέγετο V 18 οὐχ' V, ut semper fere ante ῾ 19 post κατέβη add. ΠῙΠῙΛ̄Ε̄Γ̄Ῡ V 20 Ἄρρωστος δωδέκατος i. tit. V 24 ἦν Gal. comm.

παρέκρουσεν ἐς νύκτα. ἕκτῃ διὰ ῥινῶν λάβρον ἐρρύη πολύ· φρίξασα ἵδρωσε πολλῷ θερμῷ δι᾽ ὅλου· ἄπυρος· ἐκρίθη. ἐν δὲ τοῖσι πυρετοῖσι καὶ ἤδη κεκριμένων γυναικεῖα κατέβη πρῶτον τότε· παρθένος γὰρ ἦν. ἦν δὲ διὰ παντὸς ἀσώδης, φρικώδης, ἔρευθος προσώπου, ὀμμάτων ὀδύνη· καρηβαρική. ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ᾽ ἐκρίθη. οἱ πόνοι ἐν ἀρτίῃσιν.

ιγ΄. Ἀπολλώνιος ἐν Ἀβδήροισιν ὀρθοστάδην ὑπε-
138 φέρετο χρόνον | πολύν. ἦν δὲ μεγαλόσπλαγχνος, καὶ περὶ ἧπαρ συνήθης ὀδύνη χρόνον πολὺν παρείπετο, καὶ δὴ τότε καὶ ἰκτερώδης ἐγένετο, φυσώδης, χροιῆς τῆς ὑπολεύκου. φαγὼν δὲ καὶ πιὼν ἀκαιρότερον βόειον ἐθερμάνθη σμικρὰ τὸ πρῶτον, κατεκλίνη. γάλαξι δὲ χρησάμενος ἑφθοῖσι καὶ ὠμοῖσι πολλοῖσιν, αἰγείοισι καὶ μηλείοισι, καὶ διαίτῃ κακῇ πάντων βλάβαι μεγάλαι· οἵ τε γὰρ πυρετοὶ παρωξύνθησαν, κοιλίη τε τῶν προσενεχθέντων οὐδὲν διέδωκεν ἄξιον λόγου, οὖρά τε λεπτὰ καὶ ὀλίγα διῄει· ὕπνοι οὐκ ἐνῆσαν· ἐμφύσημα κακόν, πολὺ δίψος, κωματώδης, ὑποχονδρίου δεξιοῦ ἔπαρμα σὺν ὀδύνῃ, ἄκρεα πάντοθεν ὑπόψυχρα, σμικρὰ παρέλεγε, λήθη πάντων ὅ τι λέγοι, παρεφέρετο. περὶ δὲ τεσσαρεσκαιδεκάτην, ἀφ᾽ ἧς κατεκλίνη, ῥιγώσας ἐπεθερμάνθη· ἐξεμάνη· βοή, ταραχή, λόγοι πολλοί, καὶ πάλιν ἵδρυσις, καὶ τὸ κῶμα τηνι-
140 καῦτα προσῆλθε. μετὰ δὲ ταῦτα κοιλίη ταρα|χώδης πολλοῖσι χολώδεσιν, ἀκρήτοισιν, ὠμοῖσιν· οὖρα μέλανα, σμικρά, λεπτά· πολλὴ δυσφορίη· τὰ τῶν διαχω-

2 φρίξας V 5 διαπαντὸς V 6 βαρικὴ pro καρηβ. V 10 ἐπὶ pro περὶ V 14 ἐφθοῖσι V 15 αἱ βλ. μ. vulg., βλάβη μεγάλη V 17 ante λόγ. add. τοῦ V 22. 23 ἀφ᾽ ἧς ῥιγώσας ἀπεθερμάνθη (ἐπεθ. V) καὶ (καὶ om. V) κατεκλίθη ἐξεμάνη codd., transposuit Rhd. 26 ἀκρίτοισιν V

ρημάτων ποικίλως· ἢ γὰρ μέλανα καὶ σμικρὰ καὶ ἰώδεα ἢ λιπαρὰ καὶ ὠμὰ καὶ δακνώδεα· κατὰ δὲ χρόνους ἐδόκει καὶ γαλακτώδεα διδόναι. περὶ δὲ εἰκοστὴν τετάρτην διὰ παρηγορίης· τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν, σμικρὰ δὲ κατενόησεν· ἐξ οὗ δὲ κατεκλίνη, οὐδενὸς ἐμνήσθη· πάλιν δὲ ταχὺ παρενόει, ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. περὶ δὲ τριηκοστὴν πυρετὸς ὀξύς, διαχωρήματα πολλὰ λεπτά, παράληρος, ἄκρεα ψυχρά, ἄφωνος. τριηκοστῇ τετάρτῃ ἔθανε. τούτῳ διὰ τέλεος, ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης, οὖρα λεπτὰ μέλανα, κωματώδης, ἄγρυπνος, ἄκρεα ψυχρά, παράληρος διὰ τέλεος[, φρενιτικός].

ιδ'. Ἐν Κυζίκῳ γυναικὶ θυγατέρας τεκούσῃ διδύμας καὶ δυστοκησάσῃ καὶ οὐ πάνυ καθαρθείσῃ τῇ πρώτῃ πυρετὸς φρικώδης ὀξύς, κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης· ἄγρυπνος ἐξ ἀρχῆς, σιγῶσα δὲ καὶ σκυθρωπὴ καὶ οὐ πειθομένη· οὖρα λεπτὰ καὶ ἄχρω· διψώδης, ἀσώδης τὸ πολύ, κοιλίη πεπλανημένως ταραχώδης καὶ πάλιν συνισταμένη. ἕκτῃ ἐς νύκτα πολλὰ παρέλεγε, οὐδὲν ἐκοιμήθη. περὶ δὲ ἑνδεκάτην ἐοῦσα ἐξεμάνη καὶ πάλιν κατενόει· οὖρα μέλανα, | λεπτὰ καὶ 142
πάλιν διαλείποντα ἐλαιώδεα· [καὶ] κοιλίη πολλοῖσι, λεπτοῖσι, ταραχώδεσι. τεσσαρεσκαιδεκάτῃ σπασμοὶ πολλοί, ἄκρεα ψυχρά, οὐδὲν ἔτι κατενόει, οὖρα ἐπέστη. ἑξκαιδεκάτῃ ἄφωνος. ἑπτακαιδεκάτῃ ἀπέθανε. [φρενῖτις.]

ιε'. Ἐν Θάσῳ Δελεάρκεος γυναῖκα, ἣ κατέκειτο

3 τετ. καὶ εἰκ. V, τετάρτης καὶ εἰκοστῆς Gal. in cit. VII 848
6 ῾ω[ρ']μητο V 11 ante μέλ. add. καὶ Gal. i. cit. XVII, I 784
13 γυναικὶ om. V 20 ἐνδ. V 22 καὶ del. Erm. et Rhd.
25 φρενίτις V post φρεν. add. Π̄ Ῑ Μ̄ Γ̄ Ῑ Ζ̄ Θ̄ V, Τ pro Γ̄ Littr.
26 δεαλκοῦς V, Δελεάρκους Gal. in cit. t. 3, 438 Basil., cf. s. p. 216, 22

ἐπὶ τοῦ λείου, πυρετὸς φρικώδης, ὀξὺς ἐκ λύπης ἔλαβεν. ἐξ ἀρχῆς δὲ περιεστέλλετο καὶ διὰ τέλεος αἰεὶ σιγῶσα ἐψηλάφα, ἔτιλλεν, ἔγλυφεν, ἐτριχολόγει, δάκρυα καὶ πάλιν γέλως, οὐκ ἐκοιμᾶτο· ἀπὸ κοιλίης ἐρεθισμῷ οὐδὲν διήει· σμικρὰ ὑπομιμνησκόντων ἔπινεν· οὖρα λεπτὰ σμικρά· πυρετοὶ πρὸς χεῖρα λεπτοί· ἀκρέων
144 ψύξις. ἐνάτη πολλὰ παρέλεγε καὶ πάλιν | ἱδρύνθη· σιγῶσα. τεσσαρεσκαιδεκάτη πνεῦμα ἀραιόν, μέγα διὰ χρόνου καὶ πάλιν βραχύπνοος. ἑπτακαιδεκάτη ἀπὸ κοιλίης ἐρεθισμῷ ταραχώδεα, ἔπειτα δὲ αὐτὰ τὰ ποτὰ
146 διήει, | οὐδὲν συνίστατο· ἀναισθήτως εἶχε πάντων· δέρματος περίτασις καρφαλέου. εἰκοστῇ λόγοι πολλοὶ καὶ πάλιν ἱδρύνθη· ἄφωνος, βραχύπνοος. εἰκοστῇ πρώτῃ ἀπέθανε. ταύτῃ διὰ τέλεος πνεῦμα ἀραιόν, μέγα· ἀναισθήτως πάντων εἶχεν· αἰεὶ περιεστέλλετο· ἢ λόγοι πολλοὶ ἢ σιγῶσα διὰ τέλεος. [φρενῖτις.]

ιϛ΄. Ἐν Μελιβοίῃ νεηνίσκος ἐκ πότων καὶ ἀφροδισίων πολλῶν πολὺν χρόνον θερμανθεὶς κατεκλίνη· φρικώδης δὲ καὶ ἀσώδης ἦν καὶ ἄγρυπνος καὶ ἄδιψος. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ πολλὰ κόπρανα διῆλθε σὺν περιρρόῳ πολλῷ, καὶ τὰς ἑπομένας ὑδατόχλοα πολλὰ διήει· οὖρα λεπτά, ὀλίγα, ἄχρω· πνεῦμα ἀραιόν, μέγα διὰ χρόνου· ὑποχονδρίου ἔντασις ὑπολάπαρος, παρα-

1 ληίου Gal. in cit. VII 841 4 ἐρεθισμὸς codd. et Gal. in cit. VII 841, ἐρεθισμοὶ vulg., unde Erm. effecit ἐρεθισμῷ (cf. s. 212, 25) 5 ὑπομνησκόντων V, σμ. λεπτὰ οὐκ ἔχοντα ὑπόστασιν Gal. l. l. 6 post σμικρά add. οὐχ' ἑκοῦσα V (gloss. pro ὑπομιμν.) χεῖρας Gal. comm. 7 ἐνν. V Gal in cit. l. l. ἐνιδρύνθη Gal. ibid. 9 ἐρεθισμοὶ ἀπὸ κοιλ. ταραχώδεες Gal. in cit. VII 867 11 ante διήει add. οὐ libri, om. vulg. οὐδὲ Gal. l. l., Littr. 12 καρφαλέον V, καρφαλέα Gal. l. l. 13 καὶ om. Gal. l. l. μιῇ καὶ εἰκοστῇ Gal. l. l. 16 φρενίτις V 17 μολιβύνη V

μήκης ἐξ ἀμφοτέρων· καρδίης παλμὸς διὰ τέλεος συνεχής· οὔρησεν ἐλαιῶδες. δεκάτῃ παρέκρουσεν ἀτρεμέως, ἦν δὲ κόσμιός | τε καὶ σιγῶν· δέρμα καρφαλέον καὶ 148 περιτεταμένον· διαχωρήματα ἢ πολλὰ καὶ λεπτὰ ἢ χολώδεα, λιπαρά. τεσσαρεσκαιδεκάτῃ πάντα παρωξύνθη, παρέκρουσεν, πολλὰ παρέλεγεν. εἰκοστῇ ἐξεμάνη, πολὺς βληστρισμός, οὐδὲν οὔρει, σμικρὰ ποτὰ κατείχετο. εἰκοστῇ τετάρτῃ ἀπέθανε. [φρενῖτις.]

2 Δεκάτῃ om. V et vulg., ι duo codd. apud Foes. in notis, ἐν μὲν τῇ δεκάτῃ τῶν ἡμερῶν παρέκρ. Gal. in cit. VII 863 3 ἦν δὲ om. V, restituit Litt. ex Gal. cit. l. l. τε om. Gal. ibid. 6 παρέκρουσεν Blass, om. V, παρεκρούσθη vulg. 8 φρενίτις V

Cum haec typothetae iam essent tradita, Ilbergius emendationes characterum aegris adiectorum mihi misit has: ad seriem priorem αʹ (cf. s. p. 215): ΠΖϹΜΟΝ̅⟨Υ⟩, γʹ: ΠΚΓΟΔΜ̅Υ, δʹ: ΠΦΔЄ̅Θ, ϛʹ: ΠЄΑΠΙΗΘ, ζʹ, ΠΔЄΗΘ, ηʹ: ΠΖΖΘ, ϑʹ: ΠΥЄΘ, ιʹ: ΠΩΔΥΑ⟨Ζ̅Θ⟩, ιαʹ: ΠΩΔΑΖ̅Θ; ad seriem posteriorem γʹ (p. 236): ΠΨΠΙ̅Ι̅Θ, δʹ: ΠΦϹΘ, εʹ: ΠΥΔ̅Θ alii ΠΑ̅Β̅Γ̅Δ̅Θ, ϛʹ: ΠΔΙΔ̅Υ, aliorum quae sequuntur sigla corrupta. Lineolae superscriptae littera numerum significari indicant. Plura de his exponet Ilbergius in Philol. vol. LIV fasc. III.

APPENDIX.

Galeni interpretatio characterum descriptionibus libri Epid. III subditorum.

(Gal. comm. XVII, I, p. 611—613 Kuehn.)

Ἡγεῖται μὲν οὖν, ὡς ἔφην, ἁπάντων τὸ τὴν διάμετρον γραμμὴν ἔχον Π, σημαῖνον ἀεὶ τὸ πιθανόν. τελευταῖον δ' ἤτοι τὸ Υ γράμμα φαίνεται γεγραμμένον ἢ τὸ Θ, τὸ μὲν ὑγείαν, τὸ δὲ θάνατον σημαῖνον. ἔμπροσθεν δ' αὐτῶν ὁ τῶν ἡμερῶν ἀριθμός, ἐν αἷς ἐνόσησεν ἢ ἀπέθανεν ὁ κάμνων. οἱ δὲ ἐν τῷ μεταξὺ τούτων χαρακτῆρες ἅπαντες μέν εἰσι διὰ τῶν γραμμάτων, ἃ σημαίνει τὰ στοιχεῖα τῆς φωνῆς, πλὴν τοῦ κάτωθεν ἀπεστιγμένου δέλτα. τίνα δὲ διάνοιαν ἕκαστος αὐτῶν ἔχει, δηλώσω. μεμνημένων οὖν ἡμῶν, ὅτι τὰ πρὸ τοῦ τελευταίου τῶν χαρακτήρων, ὑφ' οὗ θάνατον ἢ ὑγείαν ἔφαμεν δηλοῦσθαι, γεγραμμένα τὸν ἀριθμὸν τῶν ἡμερῶν σημαίνει, περὶ τῶν ἄλλων, ὅσα μεταξὺ τούτων τε καὶ τῆς ἀρχῆς γέγραπται, ποιήσομαι τὸν λόγον. τὸ μὲν Α δηλοῖ ἀποφθοράν, ἀπώλειαν, τὸ δὲ Γ γονοειδὲς οὖρον, τὸ δ' ἀπεστιγμένον, οἷάπερ ἔστιν ἃ κάτωθεν ἔχει, τρόπῳ τοιῷδε γεγραμμένον Δ̣

17 οἷάπερ ἐστὶν ἃ κάτωθεν ἔχῃ κτλ. Kuehn, οἷάπερ ἐστὶν ὃ κάτωθεν ἔχει τρόπῳ τοιῷδε ⟨τὸ ἰῶτα⟩ γεγραμμένον Δ̣ [διαχωρούμενα δι'] ἱδρῶτα καὶ διάρρ. κτλ. Ilberg. In Aldina vol. V 196^{v} sunt haec: τὸ δ'. ἀπεστιγμὴν, οἵαπερ ἐστιν ἡ κάτωθεν, ἔχη τρόπω τοιῶδε γεγραμμένον. δ//. ἱδρῶτα καὶ διάῤῥοιαν καὶ διαφόρησιν κτλ. Ego sententiam mutilam esse suspicor.

διαχωρούμενα δι' ἱδρώτων καὶ διάρροιαν καὶ διαφόρησιν καὶ συνελόντι φάναι κένωσιν ἡντιναοῦν σημαίνειν βούλονται, τὸ δὲ Ε ἐποχήν, ἕδραν, τὸ δὲ Ζ ζήτημα, τὸ δὲ Θ θάνατον, ὡς προείρηται, τὸ δὲ Ι ἱδρῶτα, τὸ δὲ Κ κρίσιν ἢ κοιλιακὴν διάθεσιν, τὸ δὲ Μ μανίαν ἢ μήτραν, τὸ δὲ Ν νεότητα καὶ νέκρωσιν, τὸ δὲ Ξ ξανθὴν χολὴν καὶ ξένον τι καὶ σπάνιον καὶ ξυσμὸν καὶ ξηρότητα, τὸ δὲ Ο ὀδύνας ἢ οὖρον — ἔνιοι δέ φασιν, ὅταν ἐπικείμενον ἄνωθεν ἔχῃ τὸ Υ, τότε σημαίνειν τὸ οὖρον αὐτό, γραφόμενον ὡς εἰώθασι τὸ οὕτως γράφειν —, τὸ δὲ Π πλῆθος ἢ πτύελον ἢ πυρὸν ἢ πυρετὸν ἢ πνεύμονος πάθος, τὸ [Π] δ' ἐν αὐτῷ μέσον ἔχον τὸ Ι, καθότι προείρηται, τὸ πιθανὸν δηλοῖ, τὸ δὲ Ρ ῥύσιν ἢ ῥῖγος, τὸ δὲ Φ φρενῖτιν ἢ φθίσιν, τὸ δὲ Σ σπασμὸν ἢ στομάχου κάκωσιν ἢ στόματος, τὸ δὲ Τ τόκον, τὸ δὲ Υ ὑγείαν ἢ ὑποχόνδριον, τὸ δὲ Χ χολὴν ἢ χολῶδες, τὸ δὲ Ψ ψύξιν, τὸ δὲ Ω ὠμότητα.

1 *διαχώρησιν* pro *διαφόρ.* Littré III, 32   11 *πυρρὸν* pro *πυρὸν* Littré l. l., neutrum placet.   12 *Π* Ilbergius Aldinam secutus sustulit.

CONTINENTVR HOC VOLVMINE:

Hippocrates. 460 BC

Medicine
Greek science
Greek medical writers